1. (*Maladie causée par la pituite avec difficulté d'uriner et amblyopie. Comp. les maladies dites épaisses des* Affect. int.) Une urine abondante est rendue quand la tête a subi un excès de chaleur. En effet le phlegme s'y fond, et, fondu, il coule d'une part aux narines, d'autre part à la bouche, d'autre part à travers les veines qui conduisent aux génitoires. Quand il est arrivé là, les patients urinent et éprouvent des accidents comme ceux de la strangurie. Ils ont de l'amblyopie quand du phlegme pénètre dans les veines des yeux; car la vue devient plus humide et plus trouble, le brillant de l'œil n'est plus aussi brillant, et, si on veut regarder, les objets ne sont plus apparents comme quand il était pur et limpide. Ce patient guérit en quarante jours au plus. Si, longtemps après, la maladie revient, la peau de la tête s'épaissit, le reste du corps se gonfle, s'épaissit et prend bonne couleur. Dans ce cas le phlegme pénètre dans les chairs, et c'est ce qui donne l'apparence de l'embonpoint. En effet les chairs, étant humectées, gonflées et plus lâches, attirent le sang hors des veines; de là vient la bonne coloration apparente.

2. (*Autre maladie causée par la pituite avec ulcérations.*) Autre maladie : la tête se remplit d'ulcères, le corps se gonfle, la couleur devient ictérique; des ulcères se forment çà et là sur le corps; il survient de la fièvre de temps à autre, et de l'eau coule des oreilles. En ce cas, quand un phlegme sub-bilieux s'entretient dans la tête, les ulcères naissent par l'humidité que le phlegme et la bile produisent au sinciput, et par l'état d'atténuation et d'abondance du phlegme et de la bile; il en résulte stagnation, corruption et ulcération; le phlegme atténué pénètre dans les oreilles. Pour le reste du corps, les ulcères se

ἐν τῷ δευτέρῳ. — [9] σεσηπομένου vulg. - συσσηπομένου EK, Mack. - συσηπομένου IJ, Ald., Frob. - σεσηπότος Lind. - ἁλισθέντος Lind.

καὶ τῆς χολῆς, ᾗ ἂν τύχῃ ἁλισθέντα· ταύτῃ γὰρ ἡ σὰρξ σήπεται καὶ ἑλκοῦται, [1]καὶ προσκατασήπει τὸ ἐσελθὸν τοῦ φλέγματος καὶ τῆς χολῆς, καὶ γίνεται πῦον.

3. [2]Ἑτέρη νοῦσος· περιωδυνίη τὴν κεφαλὴν ἴσχει, καὶ ἐμέει χολὴν, καὶ δυσουρέει, [3]καὶ παραφρονέει. Οὗτος περιωδυνέει μὲν ὑπὸ τῆς ὑπερθερμασίης τῆς κεφαλῆς, παραφρονέει δὲ ὅταν τὸ αἷμα τὸ ἐν τῇ κεφαλῇ ὑπὸ χολῆς ἢ φλέγματος [4]ὑπερθερμανθῇ καὶ κινηθῇ μᾶλλον τοῦ εἰωθότος· ἐμέει δὲ χολὴν ἅτε κεκινημένης αὐτῆς ἐν τῷ σώματι, καὶ ἡ κεφαλὴ ὑπὸ τῆς θερμασίης ἕλκει ἐφ' ἑωυτὴν, [5]καὶ τὸ μὲν παχύτατον ἐμέει, τὸ δὲ λεπτότατον ἕλκει ἐς ἑωυτήν· οὐρέει δὲ [6]καὶ ἐν ταύτῃ ὑπὸ τῶν αὐτῶν, ὡς καὶ ἐν τῇ πρόσθεν εἴρηται.

4. [7]Ἑτέρη νοῦσος· ἢν περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμήσῃ, τὸ μὲν οὔνομα οὐκ ὀρθὸν τῇ νούσῳ, [8]οὐ γὰρ ἀνυστὸν ὑπερεμῆσαι οὐδὲν τῶν φλεβίων οὔτε τῶν ἐλασσόνων οὔτε τῶν μειζόνων· ὀνομαίνουσι δὲ καὶ φασὶν [9]ὑπερέμετον· εἰ δ' ὡς μάλιστα ὑπερεμήσειε, νοῦσος ὑπ' αὐτοῦ [10]οὐκ ἔοικεν ἂν γίνεσθαι· ἀπ' ἀγαθοῦ γὰρ κακὸν οὐχ οἷόν τε [11]γενέσθαι, [12]οὐδ' ἀγαθὸν πλέον τοῦ δέοντος οἷόν τε γενέσθαι, ἀλλ' ὑπερεμέειν δοκέει ὅταν ἐς τὰς φλέβας χολὴ ἢ φλέγμα ἐσέλθῃ. Μετεωρίζονταί [13]τε γὰρ αἱ φλέβες καὶ σφύζουσι, καὶ ὀδύνη κατὰ πᾶσαν τὴν κεφαλὴν ἐγγίνεται, καὶ [14]τὰ ὦτα ἠχέει, καὶ ἀκούει οὐδέν· καὶ ἠχέει μὲν ἅτε τῶν φλεβίων σφυζόντων καὶ παλλομένων, τηνικαῦτα γὰρ ἦχος ἔνεστιν ἐν τῇ κεφαλῇ, βαρυηκοεῖ δὲ τὸ μέν τι [15]ὑπὸ τοῦ ἔσωθεν ψόφου καὶ ἤχου, τὸ δὲ ὅταν ὁ ἐγκέφαλος καὶ τὰ φλέβια τὰ περὶ αὐτὸν ἐπαρθῇ. [16]Ὑπὸ γὰρ τῆς ὑπερθερμασίης ἐμπίπλησι τὸ κατὰ τὸ

[1] Καὶ EGHIJK, Ald., Lind., Mack. – καὶ om. vulg. – τε καὶ τῆς EJK, Lind., Mack. — [2] ἕτερος G. – ἄλλη H. – ἑτέρα EJ. – περιοδυνίη IJ. — [3] καὶ.... κεφαλῆς om. J. – μὲν om., restit. al. manu H. — [4] ὑποθ. GK, Ald. – τῆς χολῆς pro αὐτῆς HQ'θ. – ὑπερθερμασίης θ. — [5] καὶ.... ἑωυτὴν om. GIJK. – ἕλκει om. (E, restit. al. manu post ἑωυτὴν) Hθ. – ἐφ' Lind. — [6] καὶ om. FGIJK, Lind. — [7] ἑτέρα EG. – ἑ. ν. om. Iθ. — [8] οὐ H. – οὐδὲ vulg. — [9] ὑπεραίμετον G. – ὑπερεμέειν (E, al. manu ὑπερέμετον) HLθ. – ὑπεραιμήσειε G. — [10] οὐκ om. FGIK. – ἔειχε F. – ἂν θ. – ἂν om. vulg. – ἀπὸ EH. — [11] Post γ. addit οὐδ' ἀπὸ κακοῦ ἀγαθὸν γένοιτο (γένοιτ' E) ἂν vulg. – οὐδ'.... ἂν om. Hθ. — [12] οὐδ' αὖ (αὖ om., H restit. al. manu, θ) vulg. – τε om. FIJ. – Post γενέσθαι addit οὐδ' ἀπὸ κακοῦ ἀγαθὸν γένοιτ' ἂν H. – θολερὸν pro χολὴ ἢ Lind. – καὶ pro ἢ L. – αἷμα pro φλέγμα GIKL, Lind. – εἰσέλθῃ E. — [13] τε EHθ. – τε om. vulg. — [14] τὰ om. F. – (καὶ K) βαρηκοεῖ vulg. – βαρυκοεῖ EGIJK, Ald. – βαρυηκοεῖ H. – μέν τοι K. — [15] Ante ὑπὸ addunt καὶ EH. — [16] τὰ pro ὑπὸ θ. – κενὸν vulg.

développent de la même façon que ceux de la tête, par la corruption simultanée du sang et de la bile là où la chance accumule ces liquides. En effet, en ce point, la chair se corrompt et s'ulcère; à fur et mesure elle corrompt ce qui afflue, phlegme et bile, et elle devient du pus.

3. (*Affection cérébrale aiguë. Par la comparaison avec le § 14, il paraît s'agir d'une otite.*) Autre maladie : une douleur intense tient la tête; vomissement de bile, dysurie et délire. Le patient a de la douleur par l'excès de chaleur de la tête. Il délire, le sang de la tête étant échauffé et mis en mouvement plus que d'habitude par la bile ou le phlegme. Il vomit de la bile, ce liquide étant ému dans le corps, et la tête, en raison de la chaleur, l'attirant à soi : de la sorte, la partie la plus épaisse est vomie, la partie la plus ténue est attirée. Il urine par les mêmes causes déduites dans le cas précédent.

4. (*Affection cérébrale avec éruption d'un liquide purulent par les narines ou la bouche, cette affection est attribuée aux veines qui revomissent; remarque sur l'impropriété de cette expression.*) Autre maladie : les veines autour du cerveau revomissent; ce mot, à la vérité, n'est pas juste pour la maladie; car il n'est pas possible qu'aucune des veines, grandes ou petites, revomissent; toutefois on nomme cela revomir. Si, dans le fait, les veines revomissaient, sans doute il n'en résulterait pas de maladie; en effet, un bien ne peut produire du mal, ni même un bien disproportionné. Mais les veines semblent revomir quand il y entre de la bile ou du phlegme; elles se gonflent, elles battent; de la douleur occupe la tête entière; les oreilles bourdonnent et le patient n'entend rien. Il y a bourdonnement à cause du battement et des pulsations des veines; c'est alors en effet que les oreilles bourdonnent. Il y a dureté d'ouïe, d'une part à cause du bruit et du bourdonnement intérieurs, d'autre part à cause du gonflement du cerveau et des veines

– κενεὸν FGHIJKθ, Lind., Mack. – ἀέρος E. – ὡς om. (E, restit. al. manu) Kθ. – παρέχοντες, al. manu ος E. – βαρηκοεῖ vulg. – βαρυκοεῖ EGIJK, Ald. – βαρυηκοεῖ H. – βαρυηκοέει θ.

οὖς κενεὸν ὁ ἐγκέφαλος ἑωυτοῦ, καὶ ἅτε οὐκ ἐνεόντος τοῦ ἠέρος ἰσοπληθέος, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, οὐδὲ τὸν ἦχον ἴσον παρέχοντος, οὐκ ἐνσημαίνει οἱ τὰ λεγόμενα ὁμαλῶς, καὶ ἀπὸ τούτου βαρυηκοέει. Οὗτος, ἢν μὲν ῥαγῇ [1]αὐτῷ ἐς τὰς ῥῖνας ἢ ἐς τὸ στόμα ὕδωρ καὶ φλέγμα, ὑγιὴς γίνεται· [2]ἢν δὲ μὴ ῥαγῇ, ἑβδομαῖος μάλιστα ἀποθνήσκει. Ἢν δὲ [3]αἱ ἐν τῇ κεφαλῇ ὑπερεμέσωσι φλέβες, ὑπερεμέουσι δὲ ὑπὸ τῶν αὐτῶν ἃ καὶ ἐν τῷ πρόσθεν εἴρηται· σημήϊον [4]δὲ ὅτι τοιούτῳ τρόπῳ ὑπερεμέουσι τόδε· ὅταν τις ἢ χεῖρα τοῦτο πάσχουσαν ἐπιτάμῃ ἢ κεφαλὴν ἢ ἄλλο τι τοῦ σώματος, τὸ αἷμα μέλαν ῥέει καὶ θολερὸν καὶ νοσῶδες· [5]καίτοι οὐ δίκαιον κατ' οὔνομα, ἀλλ' ἐρυθρὸν καὶ εἰλικρινὲς ῥεῖν. Ὅταν [6]δὲ ὑπερεμέσωσιν ὑπὸ τῶν αὐτῶν, ἴσχει ὀδύνη καὶ σκοτοδινίη καὶ βάρος τὴν κεφαλήν· ὀδύνη μὲν ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος, σκοτοδινίη δὲ ὅταν ἅλες ἐπὶ [7]τὸ πρόσωπον χωρήσῃ τὸ αἷμα, βάρος δὲ ἅτε τοῦ αἵματος πλέονος ἐόντος ἐν τῇ κεφαλῇ καὶ θολερωτέρου καὶ νοσωδεστέρου ἢ εἴωθεν.

5. [8]Σφακελισμὸς ἐγκεφάλου· ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἔχει ἐκ τῆς κεφαλῆς τὴν ῥάχιν καὶ ἐπὶ τὴν καρδίην φοιτᾷ, [9]καὶ ἀψυχίη καὶ ἱδρὼς, καὶ ἄϋπνος τελέθει, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, πολλάκις δὲ καὶ αἷμα ἐμέει. [10]Σφακελίζει δὲ ὁ ἐγκέφαλος τρόπῳ τοιῷδε· ὁκόταν ἢ ὑπερθερμανθῇ ἢ ὑπερψυχθῇ, [11]ἢ χολώδης ἢ φλεγματώδης γένηται μᾶλλον τοῦ εἰωθότος, ὅταν δέ τι τούτων πάθῃ, ὑπερθερμαίνεται, καὶ τὸν νωτιαῖον μυελὸν διαθερμαίνει, καὶ οὗτος ὀδύνην τῇ ῥάχει παρέχει· ἀψυχέει [12]δὲ ὅταν προσίστηται πρὸς τὴν καρδίην φλέγμα ἢ χολή· [13]προσίστασθαι δὲ ἀνάγκη κεκινημένων καὶ ὑγρα-

[1] Αὐτὸ H. — [2] εἰ EH. — [3] αἱ Hθ. – αἱ om. vulg. — [4] δ' EH. – τι pro τις J. – ῥέῃ K. — [5] καὶ pro καίτοι FGIJK. – οὐδὲ (οὐ, H al. manu οὐδὲ, θ) αἷμα (αἷμα om., H restit. al. manu, θ) δίκαιον εἰπεῖν (εἰπεῖν om., H restit. al. manu, θ) κατ' οὔνομα (κατὰ τὸ οὔνομα EH), ἀλλ' (ὅτι οὐδ' al. manu pro ἀλλ' H) ἐρ. καὶ εἰλ. ῥεῖν (ῥεῖ E; ῥέον Lind.) vulg. — [6] δ' EH. – γοῦν pro δὲ Lind. – ὑπὸ θ. – ἀπὸ vulg. – σκοτοδινίη (bis) EFGHIJK, Ald., Lind., Mack. – σκοτοδυνίη (bis) vulg. – Post βάρος addit ἔχει vulg. – ἔχει om. (H, restit. al. manu) θ. — [7] τὸ om. P'. – ὅταν pro ἅτε Kθ. – πλείονος vulg. – πλέονος θ. – θολωδεστέρου EHP'. – χολωδεστέρου Q'. – χολερωτέρου θ, Mack. – ἢ ἔσωθεν vulg. – ἢ εἴωθεν conjicit Coray Mus. Oxon. consp., p. 21. – Cette conjecture de Coray me paraît excellente. — [8] σφ. ἐγ. om. (H, restit. al. manu) θ. – ἐπὶ pro ἐκ J. – καρδίην EHθ. – καρδίαν vulg. — [9] καὶ θ. – καὶ om. vulg. – ἐμέει αἷμα EH. — [10] σφακελίζει EHJKθ. – σφακελίζεται vulg. – γὰρ pro δὲ EH. – τρόπῳ τ. om. (H, restit. al. manu) θ. – ὅταν H. – ἢ ὅταν pro ὁκ. ἢ E. – ὁκό-

cérébrales ; l'excès de chaleur fait que le cerveau emplit le vide qu'il a vers l'oreille ; dès lors l'air n'est plus en même quantité qu'auparavant, et ne rend plus le même son ; les paroles ne sont plus aussi significatives, c'est ce qui fait que l'ouïe est dure. En ce cas, si de l'eau et du phlegme font éruption par les narines ou par la bouche, le patient guérit ; sinon, il meurt d'ordinaire vers le septième jour. Si les veines de la tête revomissent (elles revomissent par les mêmes causes énoncées dans ce qui précède), voici ce qui montre que les choses se passent ainsi : quand on incise le bras, ou la tête, ou toute autre partie ayant cette affection, il s'en écoule un sang noir, trouble et morbide. Or, ce n'est pas de nom seulement, c'est rouge et pur que le sang doit couler. Quand donc les veines revomissent par les mêmes causes, il y a douleur, vertige et pesanteur de tête ; douleur par l'excès de chaleur du sang, vertige par l'afflux du sang au visage, pesanteur, parce que le sang est plus abondant dans la tête, plus trouble et plus morbide que d'habitude.

5. (*Il ne s'agit pas ici de sphacèle du cerveau ; cela est évident, mais de quoi s'agit-il ? Voy. une conjecture*, Argument, *p.* 3.) Sphacèle du cerveau : quand le cerveau se sphacèle, une douleur va de la tête au rachis et gagne le cœur ; il y a défaillance, sueur, insomnie ; le sang coule des narines, et souvent il est vomi. Voici comment le cerveau se sphacèle : un excès de chaleur, un excès de froid, un excès de bile, un excès de phlegme survenant au delà de l'ordinaire, soit l'un, soit l'autre, le cerveau s'échauffe et communique sa chaleur à la moelle dorsale ; la moelle cause de la douleur à l'épine. La défaillance vient de ce que le phlegme ou la bile se portent sur le cœur, et ils ne peuvent pas ne pas s'y porter vu qu'ils sont en mouvement et plus liquides. La sueur vient de la souf-

ταν om. θ. — [11] ἢ om. Ald. - ὑπερθερμαίνει (ὑπερθερμαίνεται, E al. manu ὑπερθερμαίνει, GHIJKθ, Ald.) καὶ τὸν ν. μ.: καὶ (καὶ om., E al. manu καὶ, Hθ) διαθερμαινόμενος (διαθερμαίνει, E al. manu διαθερμαινόμενος, Hθ) καὶ οὗτος vulg. — [12] δ' EH. - καρδίαν H. — [13] προσίσταται, al. manu προσίστασθαι H. - δὲ om. θ. - δ' EH.

σμένων· ἱδρὼς δὲ [1]γίνεται ὑπὸ πόνου· τὸ αἷμα δὲ ἐμέει ὅταν αἱ φλέβες [2]αἱ μὲν ἐν τῇ κεφαλῇ ὑπὸ τοῦ ἐγκεφάλου θερμανθῶσιν, αἱ δὲ παρὰ τὴν ῥάχιν ὑπὸ τῆς ῥάχιος, ἡ δὲ ῥάχις ὑπὸ τοῦ νωτιαίου μυελοῦ, ὁ δὲ [3]μυελὸς ὑπὸ τοῦ ἐγκεφάλου, ὅθεν περ πέφυκεν· ὅταν οὖν θερμανθῶσιν αἱ φλέβες καὶ τὸ [4]αἷμα ἐν αὐτῇσι ζέσῃ, διαδιδοῦσιν αἱ μὲν ἀπὸ τῆς κεφαλῆς ἐς τὰς ῥῖνας, αἱ δ' ἀπὸ τῆς ῥάχιος αἱμοῤῥόοι ἐς τὸ σῶμα. Οὗτος τριταῖος ἀπόλλυται ἢ πεμπταῖος ὡς τὰ πολλά.

6. [5]Ἑτέρη νοῦσος· ἐξαπίνης ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται καὶ ἀκρατὴς ἑωυτοῦ. Οὗτος ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μή μιν πῦρ ἐπιλάβῃ· [6]ἢν γὰρ ἐπιλάβῃ, ὑγιὴς γίνεται. Πάσχει δὲ ταῦτα, ὅταν αὐτῷ μέλαινα χολὴ ἐν τῇ κεφαλῇ κινηθεῖσα ῥυῇ, καὶ μάλιστα καθ' ὃ τὰ πλεῖστά [7]ἐστι φλέβια, ἐν τῷ τραχήλῳ φημὶ καὶ τοῖσι στήθεσιν· ἔπειτα καὶ τῇ ἑξῆς ἀπόπληκτος γίνεται καὶ ἀκρατὴς, ἅτε τοῦ αἵματος ἐψυγμένου. Καὶ ἢν κρατήσῃ ὥστε τὸ αἷμα θερμανθῆναι, ἤν τε ὑπὸ τῶν προσφερομένων ἤν [8]τε ὑφ' ἑωυτοῦ, μετεωρίζεταί [9]τε καὶ διαχέεται, καὶ κινέεται, καὶ τὴν πνοιὴν ἐσάγεταί τε καὶ ἀφρέει καὶ [10]χωρίζεται τῆς χολῆς, καὶ ὑγιὴς γίνεται. Ἢν δὲ μὴ κρατήσῃ, ψύχεται ἐπὶ μᾶλλον· καὶ ὅταν παντάπασι ψυχθῇ καὶ ἐκλίπῃ ἐξ αὐτοῦ τὸ θερμὸν, πήγνυται καὶ κινηθῆναι οὐ δύναται, ἀλλὰ ἀποθνήσκει. Ἢν δὲ ἐκ [11]θωρήξιος ταῦτα πάθῃ, πάσχει ὑπὸ τῶν αὐτέων, καὶ ἀπόλλυται [12]ὑπὸ τῶν αὐτέων, καὶ διαφεύγει ὑπὸ τῶν αὐτέων.

7. [13]Τερηδών· ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἐκ τοῦ ὀστέου, χρόνῳ δὲ ἀφίσταται τὸ δέρμα ἀπὸ τῆς κεφαλῆς ἄλλῃ καὶ ἄλλῃ. Οὗτος [14]δὲ ταῦτα πάσχει, ὅταν ἐν τῇ διπλόῃ τοῦ

[1] Γ. om. (H, restit. al. manu) θ. – τὸ δὲ αἷμα E. — [2] αἱ EFGHIJK. – αἱ om. vulg. – ἐν μὲν FGHIJK. — [3] νωτιαῖος pro μ. θ. – νωτιαῖος μυελὸς Mack. – προσπέφυκεν pro περ πέφ. E. — [4] Post αἷμα addit τὸ K. – ἐν (addunt τῇ EH) αὐτῇ συζέσῃ vulg. – ἐν αὐτῇσι ζέσῃ θ, Mack. – Post ῥῖνας addunt καὶ ἐς τὸ στόμα K', Mack. – πουλλὰ G, Ald., Frob. Mack. — [5] ἑτέρα EG. – ἄλλη H (θ, sine νοῦσος). – ἐπιβάλλῃ GIJ. – ἐπιβάλη K. — [6] ἢν Eθ. – εἰ vulg. – δὲ pro γὰρ θ. – ἐπιβάλλει J. – ἐπιβάλλῃ GI, Ald. – ἐπιβάλῃ K. – ἢν γ. ἐπ. om., restit. al. manu H. – ὑγιὴς γίνεται EHP'Q'θ, Lind. – ὑγιαίνει vulg. — [7] ἐν τῶ τρ. ἐστὶ φλέβια, sine φημὶ EHθ. – τοῖς vulg. – τοῖσι EH. – ἔπειτα δὲ καὶ EH. – ἄλλῃ (H, al. manu ἑξῆς) θ. — [8] τε om. H. – ἐφ' EH. — [9] τε om. θ. – πνοιὴν Eθ, Mack. – πνοὴν vulg. – ἐπάγεται P'. – ἀφριεῖ, al. manu ἀφρέει H. — [10] Post χ. addunt τε θ, Mack. – ἐπὶ EFGHIθ, Ald. – ἐπὶ om. vulg. – ἐκλείπει vulg. – ἐκλείπῃ EI, Lind., Mack. – ἐκλίπῃ Kθ. — [11] θωριξίων EFGHJ. – θοριξίων IK,

france. Le vomissement de sang vient de ce que le cerveau communique sa chaleur aux veines de la tête, le rachis aux veines rachidiennes, la moelle dorsale au rachis, le cerveau à la moelle, qui provient du cerveau; quand donc les veines s'échauffent et que le sang y bout, les veines de la tête donnent dans les narines, les veines sanguines du rachis donnent dans le corps. Le patient meurt d'ordinaire le troisième ou le cinquième jour.

6. (*Coup de sang ou apoplexie.*) Autre maladie : tout à coup une douleur saisit la tête, et soudain le patient perd la parole et le mouvement. La mort vient en sept jours, à moins que la fièvre ne le prenne; si la fièvre le prend, il guérit (Aph. VI, 51). Il éprouve ces accidents quand la bile noire, étant en mouvement dans la tête, se met à fluer là surtout où il y a le plus de veines, je veux dire au cou et à la poitrine. Puis le lendemain il est frappé d'apoplexie et de perte de mouvement, en raison du refroidissement du sang. Si le corps l'emporte au point que le sang se réchauffe, ou par les choses administrées ou de soi-même, ce liquide éprouve soulèvement et diffusion, il se meut, attire la respiration, écume, se sépare de la bile, et la guérison se fait. S'il ne l'emporte pas, la réfrigération croît; et quand elle est générale et que le chaud est épuisé, le patient devient roide, il ne peut se mouvoir et succombe. Si cette maladie provient d'excès de vin, les accidents sont les mêmes, les causes de mort sont les mêmes, les causes de salut sont les mêmes.

7. (*Carie du crâne.*) Carie : quand la carie se met dans l'os, il devient le point de départ de la douleur; au bout de quel-

Ald. – θωρήξιων Frob. – θωρίξιων Lind. – θωρηξίων Mack. – Ante πάσχει addit καὶ γὰρ vulg. – καὶ γὰρ om. (H, restit. al. manu) θ. – τε ὑπὸ EH. – αὐτῶν EH. — [12] ὑπὸ τῶν αὐτῶν H (θ, αὐτέων). – ὑ. τ. α. om. vulg. – καὶ διαφεύγει ὑπὸ τῶν αὐτέων θ. – καὶ δ. ὑ. τ. α. om. vulg. — [13] τ. om. FGHIJKθ. – περὶ τερηδόνος E. – δ' EH. — [14] δὲ om., restit. al. manu H. – ᾧ τινι (ὅταν EHQ'θ, Lind., Mack) ἐν τ. δ. τ. ὀστέου ὅταν (ὅταν om. EHQ'θ, Lind., Mack) φλέγμα ἐπιγινόμενον (ἐπιγενόμενον K, Ald., Lind.; ὑπογενόμενον Mack) (ὑπογενόμενον φλέγμα EH) vulg. – ὑποξηρανθῇ Q', Lind. – ἐναποξηρανθῇ EH. – ἀποξηρανθῇ vulg. – γὰρ om. (E, restit. al. manu) Hθ. – αὐτοῦ EH.

ὀστέου ὑπογενόμενον φλέγμα ἐναποξηρανθῇ· ταύτῃ γὰρ ἀραιὸν γίνεται, καὶ ἐκλείπει ἐξ αὐτέου ἡ ἰκμὰς πᾶσα, καὶ ἅτε ξηροῦ ἐόντος ἀφίσταται τὸ δέρμα [1]ἀπ' αὐτοῦ. Αὕτη ἡ νοῦσος οὐ θανάσιμός ἐστιν.

8. [2]Ἑτέρη νοῦσος· ἢν βλητὸς γένηται, ἀλγέει τῆς κεφαλῆς τὸ πρόσθεν, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ [3]ὁμαλῶς ὁρᾷ, καὶ κωμαίνει, καὶ αἱ φλέβες σφύζουσι, καὶ πυρετὸς ἴσχει βληχρὸς, καὶ τοῦ σώματος ἀκρασίη. Οὗτος [4]ταῦτα πάσχει, ὅταν αἱ ἐν τῇ κεφαλῇ φλέβες θερμανθῶσιν καὶ θερμανθεῖσαι εἰρύσωσι φλέγμα ἐς ἑωυτάς. Ἡ μὲν οὖν ἀρχὴ τῆς νούσου ἐκ τούτου γίνεται· τὸ [5]δὲ ἔμπροσθεν τῆς κεφαλῆς διὰ τόδε ἀλγέει, ὅτι αἱ φλέβες ταύτῃ εἰσὶν αἱ παχύταται, καὶ ὁ ἐγκέφαλος ἐς τὸ πρόσω μᾶλλον κεῖται τῆς κεφαλῆς ἢ ἐς τοὔπισθεν· καὶ τοῖσιν ὀφθαλμοῖσι διὰ τοῦτο οὐχ ὁρᾷ προκειμένου τοῦ ἐγκεφάλου καὶ [6]φλεγμαίνοντος. Τὸ δὲ σῶμα διὰ τόδε ἀκρασίαι ἴσχουσιν· αἱ φλέβες ἐπὴν ἐς ἑωυτὰς ἐρύσωσι φλέγμα, ἀνάγκη ὑπὸ ψυχρότητος τοῦ φλέγματος τὸ αἷμα ἑστάναι [7]μᾶλλον νῦν ἢ ἐν τῷ πρὶν χρόνῳ καὶ ἐψῦχθαι· μὴ κινεομένου δὲ τοῦ αἵματος, οὐχ οἷόν τε μὴ οὐχὶ καὶ τὸ σῶμα ἀτρεμίζειν καὶ κεχωφῶσθαι. [8]Καὶ ἢν μὲν τὸ αἷμα καὶ τὸ ἄλλο σῶμα κρατήσῃ ὥστε διαθερμανθῆναι, διαφεύγει· ἢν δὲ τὸ φλέγμα κρατήσῃ, ἐπιψύχεται μᾶλλον τὸ αἷμα καὶ πήγνυται· καὶ ἢν ἐς τοῦτο [9]ἐπιδιδῷ ψυχόμενον καὶ πηγνύμενον, πήγνυται παντελῶς καὶ ἐκψύχεται ὤνθρωπος καὶ ἀποθνήσκει.

9. [10]Κυνάγχη· κυνάγχη δὲ γίνεται ὅταν ἐν τῇ κεφαλῇ φλέγμα κινηθὲν ῥυῇ ἅλες κάτω καὶ στῇ ἐν τῇσι σιαγόσι καὶ περὶ τὸν τράχηλον. Οὗτος οὔτε [11]τὸ σίελον δύναται καταπίνειν, ἀναπνεῖ δέ τε βιαίως καὶ ῥέγχει, καὶ ἔστιν ὅτε καὶ πυρετὸς αὐτὸν ἴσχει. Τὸ μὲν οὖν νού-

[1] Ὑπ' EHQ'θ, Mack. – οὐ om. θ. — [2] ἑτέρα E. – ἑ. ν. om. FGIJKθ. — [3] καὶ τ. ὀφ. οὐχ ἁμαλῶς ὁρᾷ Gal. Gl., p. 426, ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι. – ἀκρατίη θ, Mack. – ἀκρησίη I. – ἀκρασίαν FG. – ἄκρισιν J. — [4] ταύτῃ E. – Ante φλέβες addit αἱ G. – θερμανθεῖσαι δὲ sine καὶ EHθ, Lind., Mack. — [5] δ' EH. – ἐν (ἐν om., H restit. al. manu, θ) ταύτῃ vulg. – εἰς τὸ πρόσθεν θ. – ἔμπροσθεν E, Lind. — [6] φλεγόνοντος (sic) θ. – ἀκρατίαι Mack. – ἔχουσιν HIJ. – εἰρύσωσι H. — [7] μᾶλ. om. K. – νῦν om. (E, restit. al. manu) Hθ. – κινεομένου θ. – κινουμένου vulg. – οὐ pro οὐχὶ (E, al. manu οὐχὶ) Hθ. – οὐχὶ ponitur post σῶμα J. – κεχωμῶσθαι legisse videtur Gal. in Gl. — [8] καὶ om. FGIJK. — [9] ἐπιδιδοῖ vulg. – πάντη L, Lind. – ἐκψύχεται EJKθ. – ἐμψ. vulg. – ὁ ἄνθρ. vulg. – ὤνθρ. EH. — [10] περὶ κυνάγχης FGHIJL. – κυν. om. θ. – περὶ

que temps la peau se détache de la tête sur un point et sur un autre. Cette maladie survient quand du phlegme, se formant dans le diploé de l'os, s'y dessèche; là en effet l'os s'atténue, toute l'humeur s'en dissipe, et c'est par cette dessiccation que le derme s'en décolle. Cette maladie n'est pas mortelle.

8. (*Apoplexie ou ramollissement du cerveau.*) Autre maladie : si le patient est sidéré, il éprouve de la douleur dans le devant de la tête, il ne voit pas aussi bien, il est dans la somnolence, les veines battent : fièvre sourde, impotence du corps. Ces accidents surviennent quand les veines de la tête s'échauffent et qu'échauffées elles attirent le phlegme à elles. Tel est le point de départ de la maladie. Quant à la douleur du devant de la tête, elle tient à ce que les veines sont là plus grosses et que l'encéphale est plus sur le devant de la tête que sur le derrière. Aussi le malade n'y voit pas, le cerveau étant sur le devant et enflammé. Quant aux impuissances qui se manifestent dans le corps, en voici la cause : les veines attirant à elles le phlegme, le sang est nécessairement, vu le froid du phlegme, plus stationnaire qu'auparavant et refroidi; le sang n'étant pas en mouvement, il est impossible que le corps aussi ne soit pas atteint d'immobilité et de torpeur. A la vérité, si le sang et le reste du corps triomphent au point de se réchauffer, le patient réchappe ; mais si le phlegme l'emporte, le sang se refroidit encore davantage et se coagule ; et si le refroidissement et la coagulation vont à ce point, tout se coagule en l'homme, il se refroidit et meurt.

9. (*Angine.*) Angine : l'angine se produit quand le phlegme, mis en mouvement dans la tête, coule en bas avec abondance et s'arrête dans les mâchoires et au cou. Le patient ne peut avaler sa salive, mais il respire péniblement et râle, et parfois il est saisi de fièvre. C'est de cette façon que vient la maladie,

κυνάγχης.... ὀλίγον ponitur post διαθερμανθεῖσα, p. 18, l. 20, E. – πῶς γίνεται κυνάγχη in marg. K. – ἄλις EL. – σιαγῶσι G. – ὑπὲρ pro περὶ K. — [11] τὸ om. GJK. – σίελον FJ. – σίαλον vulg. – καταπίνειν δύν. J. – δὲ om. (E. restit. al. manu) HIJK, Lind. – τε om. Mack. – ῥέγχει θ. – νόσημα EHK.

σημα ἀπὸ τούτου γίνεται. [1]ἄλλοτε ὑπ' αὐτὴν τὴν γλῶσσαν, ἄλλοτε ὑπὲρ τῶν στηθέων ὀλίγον.

10. [2]Σταφυλή· σταφυλὴ δὲ γίνεται ὅταν ἐς τὸν γαργαρεῶνα καταβῇ φλέγμα ἀπὸ τῆς κεφαλῆς· [3]καταχρήμναται καὶ γίνεται ἐρυθρός· ἢν δὲ πλείων χρόνος γένηται, μελαίνεται· μελαίνεται δὲ ὧδε· [4]ἐπὶ φλεβός ἐστιν ὁ γαργαρεὼν παχέης, καὶ ἐπὴν φλεγμήνῃ, θερμαίνεται, καὶ ὑπὸ τῆς θερμασίης ἕλκει καὶ ἐκ τῆς φλεβὸς τοῦ αἵματος, καὶ μελαίνεται ὑπ' αὐτοῦ. Διὰ τοῦτο δὲ καὶ ἢν μὴ ὀργῶντα [5]τάμῃς, παραχρῆμα ἀποσπαρθάζουσιν· ἡ γὰρ φλὲψ [6]διαθερμαίνει καὶ ὑπὸ τῆς θερμασίης ἐμπιπλεῖ τὰ περὶ τὸν γαργαρεῶνα αἵματος, καὶ δι' ὅλου ἀποπνίγονται.

11. [7]Ἀντιάδες· ἀντιάδες δὲ καὶ ὑπογλωσσίδες καὶ οὖλα καὶ γλῶσσα καὶ ὅσα τοιαῦτα ταύτῃ πεφυκότα, ταῦτα πάντα νοσέει ὑπὸ φλέγματος· τὸ δὲ φλέγμα ἀπὸ τῆς κεφαλῆς καταβαίνει· ἡ δὲ κεφαλὴ ἐκ τοῦ σώματος ἕλκει· ἕλκει δὲ ὅταν διαθερμανθῇ· διαθερμαίνεται [8]δὲ ὑπὸ σιτίων καὶ ἡλίου καὶ πόνων καὶ πυρός· ὅταν δὲ διαθερμανθῇ, ἕλκει τὸ λεπτότατον ἐς ἑωυτὴν ἐκ τοῦ σώματος· ὅταν δὲ εἰρύσῃ, καταβαίνει καὶ πάλιν ἐς τὸ σῶμα.

12. [9]Νοῦσοι αἱ ἀπὸ τῆς κεφαλῆς γινόμεναι· ὅταν πλήρης γένηται ἡ κεφαλὴ καὶ τύχῃ ὑπό τινος τούτων διαθερμανθεῖσα, νάρκη ἴσχει τὴν κεφαλήν, καὶ οὐρέει [10]συχνὰ, καὶ τὰ ἄλλα πάσχει ἅπερ ὑπὸ στραγγουρίης· οὗτος ἡμέρας ἐννέα ταῦτα πάσχει, καὶ ἢν μὲν ῥαγῇ

[1] Καὶ (καὶ om. FGIJKLθ) ἄλλοτε vulg. – γλῶσσαν EHIK. – γλῶτταν vulg. — [2] περὶ σταφυλῆς FGHIJL. – σταφ. om. θ. – πῶς γίνεται σταφυλὴ in marg. K. – ἐκ pro ἀπὸ H. — [3] καὶ (καὶ om. FGHIJKθ, Lind.) κατ. vulg. – καταχρίμναται H. – καταχρίμαται I. – καταχρήμαται J. – καταχρέμαται K. – ἐγγίνεται θ. — [4] ἐπιφλεβὸς vulg. – ἐπίφλεβος E (H, accentus al. manu, erat prius ἐπιφλεβὸς) IJK, Lind., Mack. – ἐπὶ φλεβὸς Ald., Frob. – πέφυκεν pro ἐστιν EH Lθ. – καὶ παχύης (EIJK, παχείης) FG (H, παχείης, sed καὶ al. manu), (Lind., παχήεις) (Mack, παχύς). – περὶ παχείης L. – φλεγμαίνῃ K. — [5] τάμνῃς Eθ. – Supra lin. ἢ σφύζουσιν ἢ σπαίρουσιν E. – Ceci est la glose du Gl. de Galien. – ἀποσπαράσσουσιν L ex Hesych., Lind. – Hésychius paraît en effet avoir lu ici ἀποσπαράσσουσιν, car, pour expliquer ce mot, il se sert des termes que Galien emploie pour expliquer ἀποσπαρθάζουσιν. — [6] θερμαίνει EFGHIJ, Ald. – Supra lin. ἢ ἐμπιπλᾷ J. – ὅλου H. – ὀλίγου vulg. — [7] περὶ ἀντιάδων EFGIJK. – ἀντ. om. Hθ. – πόθεν ἀντιάδες καὶ ὑπογλωσσίδες καὶ οὖλα in marg. K. – ὑπογλωσσῖδες EH. – καὶ γλῶσσα om. J. – ἀπὸ (ὑπὸ Eθ) τοῦ (τοῦ om. EHJθ; τῆς Ald.) φλέγματος vulg. — [8] δὲ καὶ EHθ. – ὑπὸ σιτίων καὶ ὑπὸ ποσίων καὶ ἡλίου καὶ ψύχεος καὶ πόνων καὶ πυρὸς θ. – Post ἡλίου

tantôt sous la langue même, tantôt un peu au-dessus de la poitrine.

10. (*Inflammation de la luette.*) Grain de raisin : le grain de raisin se produit quand, de la tête, il descend du phlegme dans la luette. La luette devient pendante et rouge, et au bout d'un certain temps elle noircit. Voici comment : la luette est sur une grosse veine ; s'enflammant, elle s'échauffe, et, en vertu de la chaleur, elle attire du sang de la veine ; c'est de la sorte qu'elle noircit. Aussi, quand on manque à la couper au moment de l'orgasme, aussitôt le patient tombe en convulsion ; car la veine échauffe, et, par la chaleur, remplit de sang les parties avoisinantes de la luette ; aussi les malades sont complétement suffoqués.

11. (*Inflammation des amygdales, du dessous de la langue, des gencives, de la langue.*) Amygdales : les amygdales, les sublinguales, les gencives, la langue et toutes les parties attenantes deviennent malades par le phlegme. Le phlegme descend de la tête, la tête l'attire du corps, et elle l'attire quand elle s'échauffe ; or, elle s'échauffe par les aliments, par le soleil, par les fatigues, par le feu. Étant échauffée, elle attire à soi, hors du corps, la partie la plus ténue, laquelle, ainsi pompée, descend derechef dans le corps.

12. (*Ceci n'est qu'une répétition du § 1er ; la rédaction en diffère à peine ; seulement, ici, le traitement est exposé. Cautérisation.*) Maladies provenant de la tête : quand la tête s'est remplie et qu'elle se trouve échauffée par quelqu'une de ces causes, elle s'engourdit ; le patient urine fréquemment, et il éprouve ce qu'on éprouve dans la strangurie. Ces accidents durent neuf jours ; et si de l'eau et des mucosités se font jour

addunt καὶ ψύχεος EGHI (J, sine καὶ) K, Vaticana exempl. ap. Foes, Ald. – καὶ πόνων om. Lind. – καὶ πάλιν ἐς ν, σ. om. θ. – εἰς J. — [9] νοῦσοι ἀπὸ τῶν κεφαλέων (H, al. manu νοῦσοι αἱ γινόμεναι ἀπὸ τῆς κεφαλῆς) (Kθ, sed ponuntur hæc verba ante νάρκη). – ν. αἱ ἀ. τ. κ. γ. om. E. – γινόμεναι ἀπὸ τ. κ. IJ. – διαθερμανθεῖσα Hθ. – διαθερμανθῆναι vulg. — [10] θαμινὰ EHθ. – οὗτος θ. – ὁ αὐτὸς vulg.

κατὰ τὰς ῥῖνας ἢ [1]κατὰ τὰ ὦτα ὕδωρ καὶ βλέννα, ἀπαλλάττεται τῆς νούσου, καὶ παύεται τῆς στραγγουρίης, οὐρέει [2]τε ἀπόνως καὶ πουλὺ καὶ λευκὸν ἐς τὰς εἴκοσιν ἡμέρας, καὶ ἡ ἐκ τῆς κεφαλῆς ὀδύνη ἐκλείπει, καὶ ἐκ τῶν ὀφθαλμῶν ἐσορῶντι κλέπτεταί οἱ ἡ αὐγὴ, καὶ δοκέει τὸ ἥμισυ τῶν προσώπων ὁρᾷν. Οὗτος τεσσαρακοσταῖος [3]ὑγιὴς παντελῶς γίνεται· ἐνίοτε δὲ πολλοῖς ὑπανέστρεψεν ἡ νοῦσος ἑβδόμῳ ἔτει ἢ τεσσαρεσκαιδεκάτῳ· καὶ τὸ δέρμα οἱ παχύνεται [4]τῆς κεφαλῆς, καὶ ψαυόμενον ὑπείκει, καὶ ἀπ' ὀλίγων σιτίων ἁπαλὸς καὶ εὔχροος φαίνεται, καὶ ἀκούει οὐκ ὀξέα. Ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς ἀρχομένῳ τῆς νούσου πρόσθεν ἢ ῥαγῆναι κατὰ τὰς ῥῖνας τὸ ὕδωρ καὶ κατὰ τὰ ὦτα, καὶ [5]ἔχῃ αὐτὸν ἡ περιωδυνίη, ἀποξυρήσαντα χρὴ αὐτοῦ τὴν κεφαλὴν, περιδέοντα περὶ τὸ μέτωπον τὸν ἀσκὸν τὸν σκύτινον, ὕδατος ἐμπιπλῶντα ὡς ἂν ἀνέχηται θερμοτάτου, ἐᾷν αὐτὸν χλιαίνεσθαι, καὶ ἐπὴν ἀποψυχθῇ, ἕτερον [6]ἐγχέειν· ἢν δὲ ἀσθενέῃ, παύεσθαι, καὶ διαλιπὼν αὖθις ποιέειν ταὐτὰ ἔστ' ἂν χαλάσῃ ἡ περιωδυνίη· καὶ ἢν ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύσαι [7]αὐτὸν, καὶ πιπίσκοντα τῶν οὐρητικῶν μελίκρητα διδόναι ἐπιπίνειν ὑδαρέα· καὶ θαλπέσθω ὡς μάλιστα· ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης λεπτόν. Ἢν δὲ [8]ἡ γαστὴρ μὴ ὑποχωρέῃ, λινόζωστιν ἑψήσας ἐν ὕδατι, τρίβων, διηθέων τὸν χυλὸν, συμμίσγειν ἴσον [9]τοῦ ἀπὸ τῆς πτισάνης χυλοῦ καὶ [10]τοῦ ἀπὸ τῆς λινοζώστιος, καὶ μέλι ὀλίγον παραμίσγειν ἐς τὸν χυλόν· τοῦτον ῥοφάνειν τρὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον μελιχρὸν, ὑδαρέα, λευκὸν, ὀλίγον ἐπὶ τῷ ῥοφήματι. Ἐπὴν δέ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας τὰ βλεννώδεα, [11]καὶ οὐρέῃ παχὺ, καὶ τῆς ὀδύνης ἀπηλλαγμένος ἔῃ τῆς

[1] Κατὰ om., restit. al. manu E. – βλέννα E, Mack. – βλαῖνα K. – πλέννα (H, al. manu βλέννα) (I, al. manu βλαίννα, et in marg. πλέννα ἐστὶν ἡ μύξα) θ. – βλαίννα vulg. – ἀπαλλάσσεται Mack. – καταλλάττεται FGIJ. – νόσου J. — [2] δὲ pro τε EH. – πολὺ HIJK. – ἡ ponitur ante ὀδύνη EH. – ἐσορῶντι om. K. — [3] παντάπασιν ὑγιὴς γίνεται EH. – πουλλοῖς GI, Ald., Frob., Mack. – τεσσαρεσκαιδεκάταίω E. — [4] τὸ (τὸ om. EHJθ) τῆς vulg. – ἀπὸ K. – ἄχροος G, Ald. – εὔχρως θ. – γίνεται pro φ. E. – οὐκ om. FGIJK. – πρόσθεν om., restit. al. manu H. — [5] ἔχει vulg. – ἔχῃ EIJKθ. – ἢ H. – περιοδυνίη J. – περιοδυνία P'. – περιωδυνία E. – ἀποξυρίσαντα K. – αὐτοῦ E (H, al. manu) Q'θ, Lind., Mack. – αὐτὸν vulg. – ἐμπιπλάντα (H, al. manu ῶ) θ. — [6] ἔχειν vulg. – ἐγχέειν θ, Mack. – δ' EGHIJK, Ald. – αὖτις, al. manu θις H. – αὐτὰ J. – περιοδυνίη J. — [7] εἰς αὐτὸν G, Ald. – πιπίσκον GJ. – μελίκρατα EGIJ. – μελικράτω δ. ἐπ. ὑδαρεῖ K. – πίνειν θ. – θάλπεσθαι K. – ῥυμφανέτω EFGHIJ K, Ald. — [8] δέ οἱ ἡ θ. – λινοζῶστιν vulg. – λινόζωστιν EH, Mack. – τρίβων om. FGIJK. – ἴσως τρίγωνι pro τρίβων Mercur. in marg. – συσμίσγειν GIK,

par les narines ou par les oreilles, la maladie se dissipe, la strangurie cesse, il urine sans douleur une urine abondante et blanche pendant vingt jours ; la douleur de tête ne se fait plus sentir ; quand il regarde, la lumière lui est dérobée (*Du Régime salutaire*, 8), et il lui semble voir la moitié des visages. Ce malade guérit complétement au bout de quarante jours. Mais souvent la maladie récidive la septième année ou la quatorzième. La peau de la tête s'épaissit, elle cède sous le doigt ; le patient, avec peu d'aliments, prend de l'embonpoint et du teint ; l'ouïe est obtuse. Quand en cet état vous arrivez au début de la maladie, avant l'éruption de l'eau par les narines et les oreilles, et que le patient éprouve beaucoup de douleur, vous lui raserez la tête, vous fixerez au front une outre de cuir remplie d'eau aussi chaude qu'il pourra la supporter, et le laisserez s'échauffer ; quand l'outre se refroidit, vous en remplissez une autre ; si le malade est faible, vous interrompez, et, après une interruption, vous revenez au même moyen, jusqu'à l'apaisement de la douleur. S'il n'a pas le ventre libre, on fera prendre des lavements ; et, administrant des diurétiques, on donnera à boire du mélicrat étendu d'eau. Il se tiendra aussi chaud que possible, et prendra une décoction légère d'orge. Le ventre ne devient-il pas libre ? faites cuire de la mercuriale dans de l'eau, pilez, passez, et mêlez partie égale de cette eau et de la décoction d'orge ; ajoutez-y un peu de miel ; il prendra cette préparation trois fois par jour, et boira, par dessus, un vin mielleux, aqueux, blanc, en petite quantité. Après que les matières muqueuses ont fait éruption par les narines, que l'urine

Ald. – συσμίγειν J. – ἴσου EGHIJθ, Ald. — [9] τὸ G, Ald. – τῷ IJK. – χυλῷ J, Mercur. in marg. – πτισσ. E. — [10] τὸ G, Ald. – τῷ IJ. – τοῦ om. HK. – ἀπὸ om. K. – παρασμίγειν J. – τοῦτο EK. – ῥυφάνειν FGI, Ald. – ῥοφᾶν K. – ῥυμφάνειν EH. – ῥυφαίνειν J. – ὕδωρ pro οἶνον EH. – μελίχρουν legisse videtur Galenus in Gl. verbo μελιηδέα. – ῥυφήματι FGHIJ, Ald. – ῥυμφήματι E. – βλαιννώδεα vulg. – βλεννώδεα EHI. – φλεννώδεα (sic) J. – βλαινώδεα K. — [11] καὶ om. IJK. – οὐρέη θ, Lind., Mack. – οὐρέει vulg. – Ante τῆς addit εἰ K. – ἀπηλαγμένος J. – ἔῃ EFGHIJK (θ, ῇ), Mack. – ἐκ pro ἔῃ vulg. – τῷ ἀσκῷ τῆς κεφαλῆς θ.

κεφαλῆς, τῷ ἀσκῷ μηκέτι χρήσθω, ἀλλὰ λουόμενος πολλῷ [1]θερμῷ πινέτω τὰ διουρητικὰ καὶ μελίκρητα ὑδαρέα· καὶ τὰς μὲν πρώτας ἡμέρας κέγχρον λειχέτω, καὶ [2]κολοκύντην ἐσθιέτω ἢ τεῦτλα τρεῖς ἡμέρας· ἔπειτα σιτίοισι χρήσθω ὡς μαλθακωτάτοισι καὶ διαχωρητικωτάτοισι, προστιθεὶς ὀλίγον αἰεὶ τῶν σιτίων. Ἐπὴν [3]δὲ τεσσαράκοντα ἡμέραι διέλθωσι, καθίσταται γὰρ μάλιστα ἡ νοῦσος ἐν τοσούτῳ χρόνῳ, καθήρας αὐτοῦ τὴν κεφαλὴν πρότερόν οἱ φάρμακον δοὺς κάτω κάθηρον· ἔπειτα, ἢν ὥρη ἔῃ τοῦ ἔτεος, ὀῤῥὸν μεταπῖσαι ἑπτὰ ἡμέρας· ἢν [4]δὲ ἀσθενήσῃ, ἐλάσσονας· ἢν [5]δὲ ὑποστρέψῃ ἡ νοῦσος, πυριάσας αὐτὸν ὅλον, ἐς αὔριον δοῦναι ἐλλέβορον πίνειν· κἄπειτα διαλείπειν ὅσον ἄν σοι δοκέῃ χρόνον, καὶ τότε τὴν κεφαλὴν καθήρας, κατωτερικὸν δοὺς φάρμακον, καῦσον τὴν κεφαλὴν ἐσχάρας ὀκτώ, δύο μὲν παρὰ τὰ [6]ὦτα, δύο δ' ἐν τοῖσι κροτάφοισι, δύο δὲ ὄπισθεν τῆς κεφαλῆς ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι, δύο ἐν τῇ ῥινὶ παρὰ τοὺς κανθούς· τὰς φλέβας καίειν δὲ τὰς μὲν παρὰ τὰ ὦτα, ἔστ' ἂν παύσωνται σφύζουσαι· τοῖσι δὲ σιδηρίοισι σφηνίσκους ποιησάμενος, διακαίειν πλαγίας τὰς φλέβας. Ταῦτα ποιήσαντι [7]ὑγιείη ἐγγίνεται.

13. [8]Ἄλλη νοῦσος· ἑλκέων καταπίμπλαται τὴν κεφαλήν, καὶ τὰ σκέλεα οἰδίσκεται ὥσπερ ἀπὸ ὕδατος, καὶ ἐν τῇσι κνήμῃσιν ἐμπλάσσεται, καὶ ἢν [9]πιέσῃς, ἡ χροιὴ ἰκτερώδης, καὶ ἐκφύει ἕλκεα ἄλλοτε ἄλλῃ, μάλιστα δὲ περὶ τὰς κνήμας, καὶ φαίνεται πονηρὰ προσιδέειν, [10]ἀποφλεγμήναντα δὲ ταχέως ὑγιέα γίνονται, [11]καὶ πυρετὸς ἄλλοτε καὶ ἄλλοτε λαμβάνει· ἡ δὲ κεφαλὴ αἰεὶ θερμὴ γίνεται, καὶ ἐκ τῶν ὤτων ὕδωρ ῥέει. Ὅταν οὕτως ἔχῃ, φάρμακόν οἱ δοῦναι, ὑφ'

[1] Καὶ θερμῷ EHIJK, Mack. – οὐρητικὰ EH. – μελίκρατα K. – πρῶτας (sic) H. — [2] κολοκύνθην EH. – Ante μαλθ. addunt μαλακοῖσι καὶ FGIJK. – μαλθακότατοισι K. – διαφορητικωτάτοισι (E, al. manu διαχωρ) HIJK. – αἰεὶ Mack. — [3] δὲ αἱ θ. – ἐξέλθωσι (H, al. manu δι) θ. – καθῆρας (bis) Ald., Frob. – κάθηρον, ἢν ὥρη ἔῃ τοῦ ἔτεος· ἔπειτα ὀῤῥὸν vulg. – κάθηρον· ἔπειτα, ἢν ὥρη ἔῃ τοῦ ἔτεος, ὀῤῥὸν Lind. – Si l'on consulte les passages parallèles (voyez p. 24, l. 3), on approuvera la correction de Lind. – ὀρὸν, al. manu ὀῤῥὸν H. – μεταπίσαι vulg. — [4] καὶ (δὲ pro καὶ, EH δ', FGIJK, Ald., Frob.) vulg. — [5] δ' EH. – εἰς EHIJK. – δοῦναι EHQ'θ. – δίδου vulg. – διδόναι Lind. – πιεῖν θ. – ὁπόσον EHθ. — [6] ὦτα, δύο δὲ (δ' EH) ὄπισθεν τῆς κεφαλῆς, (addit δύο Lind.) ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι (κοτύλῃ K) (ἐν τῷ ἰνίῳ gloss. supra lin. E) vulg. – ὦτα, δύο δ' ἐν τοῖσι κροτάφοισι, δύο δ' ὄπισθεν τῆς κεφαλῆς ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι θ, Mack. — [7] ὑγιείης FG. — [8] ἑτέρα E. – ἑτέρη θ. – ἄ. ν. om. H. – ὕδατος (E, al. manu ὑδροποσίης) Hθ. – ὑδροποσίης vulg. – ὑδραποσίης (sic) G, Ald. — [9] πέσῃς vulg. – πιέσῃς (E, al. manu πέσῃς) FGI

est devenue épaisse et qu'il est débarrassé de la céphalalgie, il cessera l'usage de l'outre ; mais, se lavant avec beaucoup d'eau chaude, il boira les diurétiques et du mélicrat étendu d'eau. Les premiers jours il prendra du panic, et mangera de la courge ou des bettes pendant trois jours ; puis il usera des aliments les plus émollients et les plus relâchants, dont il augmentera peu à peu la quantité. Quarante jours étant passés, intervalle où d'ordinaire la maladie se dissipe, purgez-lui préalablement la tête, et donnez un médicament qui évacue par le bas ; puis, si c'est la saison, faites boire du petit lait pendant sept jours ; pendant moins s'il y a faiblesse. En cas de récidive, faites prendre un bain de vapeur entier, et le lendemain faites boire l'ellébore ; puis, après une intermission aussi longue qu'il vous paraîtra convenable, purgez la tête, administrez un évacuant par le bas, et faites à la tête huit eschares, deux près des oreilles, deux aux tempes, deux derrière la tête de chaque côté à la nuque, deux au nez dans les angles. On brûlera les veines près des oreilles jusqu'à ce que les battements en cessent. Les ferrements seront en forme de coin, et vous brûlerez les veines transversalement (*des Lieux dans l'homme*, § 40). Par ces moyens la santé se rétablit.

13. (*Ceci n'est qu'une répétition du* § 2 ; *la rédaction en diffère à peine ; seulement, ici, le traitement est exposé. Incisions au cuir chevelu.*) Autre maladie : la tête se remplit d'ulcères, les membres inférieurs enflent comme par de l'eau ; l'impression du doigt demeure aux jambes, et, si vous appuyez, la couleur est ictérique. Il vient des ulcères tantôt ici et tantôt là, particulièrement aux jambes ; les ulcères ont mauvaise apparence, mais, à la chute de l'inflammation, ils guérissent promptement. La fièvre s'établit de temps à autre, la tête est toujours chaude, et il s'écoule de l'eau par les oreilles. En cet état, donnez un mé-

JKLθ, Vaticana exempl. ap. Foes, Ald., Lind., Mack. – ἐκθύει, al. manu φ H. – περὶ om., restit. al. manu H. – ἐς pro περὶ θ. — [10] Ante ἀπ. addit καὶ E. — [11] καὶ om. K. – αἰεὶ Mack. – ἔχη EHI. – ἔχει vulg. – χολὴν GHIJK. – καθαιρεῖται vulg. – καθαρεῖται Lind.

οὗ φλέγμα καὶ χολὴ καθαρεῖται ἄνω· ἢν μὲν ψῦχος ἔῃ, [1] προπυριήσας καὶ λούσας θερμῷ· ἔπειτα διαλείπων ἡμέρας τρεῖς τὴν κεφαλὴν καθῆραι· μετὰ δὲ κάτω φάρμακον πῖσαι· ἢν δὲ ὥρη ἔῃ, καὶ ὀῤῥὸν μεταπιέτω· [2] εἰ δὲ μὴ, γάλα ὄνου· μετὰ δὲ τὰς καθάρσιας σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ διαχωρητικωτάτοισι, καὶ ἀλουτεέτω. Ἢν [3] δὲ ἡ κεφαλὴ ἥλκωται, τρύγα κατακαίων οἰνηρὴν, σμῆγμα ποιέων, σύμμισγε [4] τῆς βαλάνου τὸ ἔκλεμμα λεῖον τρίβων, λίτρον συμμίσγων ἴσον, ἀποσμήξας τούτοισι, λούσθω πολλῷ θερμῷ. [5] Χριέσθω δὲ τὴν κεφαλὴν, δαφνίδας τρίψας καὶ κηκίδας καὶ σμύρναν καὶ λιβανωτὸν καὶ ἀργυρίου ἄνθος καὶ ὕειον ἄλειφα καὶ δάφνινον ἔλαιον· ταῦτα μίξας χρίειν. Τὸν [6] δὲ μετὰ ταῦτα χρόνον ἐμέτοισι χρήσθω τρὶς τοῦ μηνὸς, καὶ γυμναζέσθω καὶ θερμολουτεέτω. Ἢν δέ [7] σοι τάδε ποιέοντι ἐκ μὲν τοῦ ἄλλου σώματος ἡ νοῦσος ἐξεληλύθῃ, ἐν δὲ τῇ κεφαλῇ [8] ἔτι ἕλκεά οἱ γίνηται, καθήρας τὴν κεφαλὴν αὖθις, φάρμακον κάτω μεταπῖσαι· ἔπειτα ξυρήσας τὴν κεφαλὴν, καταταμέειν τομὰς ἀραιὰς, καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, ἀνατρῖψαι· ἔπειτα εἴρια [9] πινόεντα οἴνῳ ῥαίνων ἐπιδεῖν, καὶ ἐπὴν ἀπολύσῃς, περισπογγίζειν καὶ μὴ βρέχειν· ἔπειτα κυπάρισσον ἐπιπάσσειν ἐλαίῳ ὑποχρίων· τοῖσι δὲ εἰρίοισιν ἐπιδέσμοισι χρήσθω, ἔστ' ἂν ὑγιὴς γένηται.

14. [10] Ἄλλη νοῦσος· περιωδυνίη λαμβάνει τὴν κεφαλὴν, καὶ ἐπὴν κινήσῃ τις ἧσσον [ἢ πλέον], ἐμέει χολήν· ἐνίοτε δὲ καὶ δυσουρέει καὶ παραφρονέει· [11] ἐπὴν δ' ἑβδομαῖος γένηται, ἐνίοτε ἀποθνήσκει· ἢν δὲ [12] τὴν ἑβδόμην διίῃ, ἐνναταῖος ἢ ἐνδεκαταῖος, ἢν μή οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα. Ἢν δὲ ῥαγῇ, ὑπεκφυγγάνει· ῥεῖ [13] δὲ

[1] Προπυριάσας vulg. – προπυριήσας θ. – καὶ om. (H, restit. al. manu) θ. – διαλιπὼν Mack. – πίσαι vulg. – ὀρὸν, al. manu ὀῤῥὸν H. — [2] ἦν K. — [3] δ' EH. – ἕλκωται EIJK, Ald., Frob. – ὀνηρὴν (sic) Ald. – σμίγμα GIJ, Ald. – [καὶ] σμ. Lind. – ποιέων EHIJK, Mack. – ποιῶν vulg. – σύμμιγε FG, Ald. – σύσμιγε IJK. — [4] τοῦ vulg. – τῆς EGHJK, Ald., Mack. – νίτρον EJ. – συσμίγων GJ, Ald. – ἀποσμίξας HIJ. – πολλῷ om., restit. al. manu K. — [5] χρεέσθω GIK. – κηκῖδας E. – κικίδας vulg. – ἀργύρου θ, Mack. – ὑεῖον (sic) Ald., Frob., Lind. – ἄλειφαρ E, Lind., Mack. – δάφνινον EFGHIK, Ald. – δάφνιον vulg. – δάφνειον J. — [6] δ' ἔπειτα pro δὲ μ. τ. EHθ. – χρῆσθαι G. — [7] τοι Lind. – ἐξελελύθῃ E. — [8] ἔτι om. (E, restit. al. manu) Hθ. – γίνεται GK. – καθήρας EGHJ, Ald., Frob., Lind., Mack. – καθάρας vulg. – αὖθις (H, al. manu), Mack. – αὖθις pro κάτω K. – ξυρήσας EGI, Mack. – ξηρήσας vulg. – κατατεμέειν E. – κατατομέειν J. — [9] πινόοντα (sic) K. – περισπογγύζειν E. – κιπάρισσον I. – ἐπιπάσσειν EH, Mack. – ἐπιπάττειν vulg. – δ' EH. — [10] ἑτέρη θ. – κινήσηται ἧσσον K'. – ἧσσον Mack. – ἧττον vulg. – J'ai ajouté ἢ πλέον entre

dicament évacuant par le haut le phlegme et la bile, après avoir, s'il fait froid, préalablement étuvé et lavé à l'eau chaude. Après une intermission de trois jours, purgez la tête, puis faites boire un évacuant par le bas. Si c'est la saison, il boira aussi du petit-lait; sinon, du lait d'ânesse. Après les évacuations, il usera de très-peu d'aliments et des plus relâchants. Les bains sont interdits. Si la tête s'ulcère, brûlez de la lie de vin, faites un onguent en y mêlant de l'écorce de gland bien broyée et une quantité égale de nitre; après s'en être frotté, il se lavera avec beaucoup d'eau chaude. Il s'oindra la tête avec l'onguent suivant : baies de laurier, noix de galle, myrrhe, encens, fleurs d'argent, graisse de porc, huile de laurier, le tout broyé et mélangé. Dans le temps qui suivra il usera du vomissement trois fois par mois, fera de la gymnastique et prendra des bains chauds. Si, pendant ce traitement, la maladie quitte, il est vrai, le reste du corps, mais que des ulcérations continuent à se produire dans la tête, purgez de nouveau la tête, puis donnez un médicament évacuant par le bas. Ensuite, ayant rasé la tête, pratiquez des incisions légères, et, le sang ayant coulé, des frictions; puis appliquez un bandage de laine grasse humectée de vin; quand vous l'ôtez, épongez et ne mouillez pas; puis, oignant avec de l'huile, saupoudrez avec de la poudre de cyprès; employez le bandage de laine jusqu'à guérison.

14. (*Otite; ceci n'est qu'une répétition du* § 3; *seulement, ici, le traitement est exposé.*) Autre maladie : une douleur intense saisit la tête; et, pour peu qu'on remue le patient, il vomit de la bile; parfois il y a de la dysurie et du délire. Parvenu au septième jour, il succombe souvent, ou, s'il passe le septième, au neuvième ou au onzième, à moins qu'il n'y ait éruption par les narines ou par les oreilles. En cas d'érup-

parenthèses, ce qui me paraît nécessaire au sens. — [11] ἐπεὶ GIJ. – δὲ Lind. – ἐν. καὶ ἀποθν. θ. — [12] τὴν μὲν Lind. – ταύτην pro τὴν ἑβδ. EHθ. – ἐκφύγῃ pro διέῃ EHθ. – καὶ (καὶ om. EHθ) ἐνν. (ἐνατ. H) vulg. – Post ἑνδ. addunt γένηται I; ἢ L, Lind. – Post ὦτα addit καὶ οὕτω θνήσκει L. — [13] δ' E. – ἐπὴν σάπῃ pro ἐκσαπὲν EHθ. – οὖν om. EHθ. – περιοδυνίῃ J.

ὑπόχολον ὕδωρ, ἔπειτα τῷ χρόνῳ πῦον γίνεται ἐκσαπέν. Ὅταν οὖν οὕτως ἔχῃ, ἕως μὲν ἂν ἡ περιωδυνίη ἔχῃ κατ' ἀρχὰς, πρὶν ῥαγῆναι ἐκ τῶν ῥινῶν καὶ τῶν ὤτων, σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἆσσον προστιθέναι πρὸς τὴν κεφαλήν· ἢν δὲ μὴ [1]τοιούτοισι χαλᾷ, τῷ ἀσκῷ χρῆσθαι τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῆς προτέρης· πινέτω δὲ μελίκρητα ὑδαρέα· ἢν δὲ [2]μηδ' ἀπὸ τοῦ μελικρήτου, τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ πινέτω· ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπινέτω λευκὸν οἶνον ὑδαρέα. Ἐπὴν δὲ ῥαγῇ κατὰ τὰ ὦτα καὶ [3]ὁ πυρετὸς ἀνῇ καὶ ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσιν, ἀρξάμενος ἐξ ὀλίγων, προστιθεὶς αἰεὶ, καὶ λούσθω θερμῷ κατὰ κεφαλῆς, καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ, καὶ ἐντιθέτω σπογγιὰν μέλιτι ἐμβάπτων. Ἢν δέ [4]τοι μὴ ξηραίνηται οὕτως, ἀλλὰ χρόνιον γένηται τὸ ῥεῦμα, διακλύσας, ἐμβάλλειν ἀργύρου ἄνθος, σανδαράχην, ψιμύθιον, ἴσον ἑκάστου, λεῖα τρίβων, ἐμπιπλεὶς τὸ οὖς σάσσειν, καὶ ἢν παραῤῥέῃ, ἐπεμβάλλειν τοῦ φαρμάκου· ἐπὴν δὲ ξηρὸν γένηται τὸ οὖς, ἐκκαθήρας, [5]ἐκκλύσαι τὸ φάρμαχον· ἔπειτα, κωφὸν γὰρ γίνεται τὸ πρῶτον ἀποξηρανθὲν, πυριᾷν αὐτῷ βληχρῇσι πυρίῃσι τὰ ὦτα· καταστήσεται γὰρ οὕτω χρόνῳ. Ἀποθνήσκουσι δὲ καὶ ἢν ἐς τὸ οὖς [6]περιωδυνίη γενομένη μὴ ῥαγῇ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν. [7]Τοῦτον λούειν πολλῷ θερμῷ, καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, [8]ἐκμάσσων, χλιαροὺς προστιθέναι πρὸς τὸ οὖς. Ἢν δὲ μηδὲ οὕτω ῥηγνύηται, πυριᾷν αὐτῷ τὸ οὖς· ῥοφήμασι δὲ καὶ πόμασι τοῖσιν αὐτοῖσι χρῆσθαι οἷσί περ ἐπὶ τοῖσι πρόσθεν.

15. [9]Ἑτέρη νοῦσος· ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη

[1] Τούτοισι EH. – τὸν αὐτὸν τρόπον EHθ. – τῷ αὐτῷ τρόπῳ vulg. – ᾧπερ (ὅπερ EH; ὥσπερ J; ὅνπερ θ) vulg. – Post ὑδ. addit ὀλίγον θ. — [2] μὴ vulg. – μηδ' EHθ. – τὸ om. EHθ. – κριμνῶν vulg. – κρημνῶν HJ, Ald. – κρηνῶν E. – κρήμνων K. – κρίμνων Lind. – ῥυμφανέτω EFGHIJK, Ald. – πτισσ. E. — [3] ὁ EHLθ, Lind., mack. – ὁ om. vulg. – αἰεὶ θ, Mack. – ἀεὶ vulg. – κατὰ τῆς κ. Lind., Mack. – σπόγγια (sic) EHIJK, Ald. – σπογγίαν vulg. — [4] τι EJ. – γίνεται EJK. – γίνηται I. – ψυμμίθιον vulg. – ψιμύθιον HIJK. – ψιμμίθιον E. – ψιμμύθιον Lind., Mack. – διατρίβων pro λεῖα τρ. θ, Mack. – ἐμπιπλεῖς HJ, Frob. — [5] ἐκκλύσαι JK. – ἐκλύσαι vulg. – αὐτῶ Lθ, Lind. – αὐτὸν vulg. – πυρίῃσι βλ. E. – οἱ pro οὕτω θ. – Ante χρόνῳ addit μόλις καὶ ἐν (μ. καὶ ἐν om., H restit. al. manu, θ) vulg. – τῶ χρόνω θ. — [6] περιοδυνίη I. – γεν. E. – γιν. vulg. – τῇσιν EFGHIJK, Mack. – τοῖσιν vulg. — [7] ἢ (ἢ om. θ, Lind., Mack) τοῦτον vulg. – λούει G. – θερμῶ πολλῶ EHIJK. — [8] καὶ ἐκμ. Lind., Mack. – τε pro δὲ K. – μηδ' EH. – οὕτως E. – ῥήγνυται vulg. – ῥίγνυται G,

tion, il réchappe ; c'est d'abord une eau sub-bilieuse qui s'écoule ; puis, avec le temps, cela devient du pus par la corruption. Dans cet état, au début, tant que la douleur intense existe, avant l'éruption par les narines et les oreilles, imbibez des éponges d'eau chaude, et appliquez-les à la tête ; si ces moyens ne suffisent pas, employez l'outre comme il a été dit dans le cas précédent. Il boira du mélicrat étendu d'eau. S'il ne prend pas du mélicrat ainsi préparé, il prendra l'eau de farine d'orge. Pour potage, il usera de la décoction d'orge, et, par dessus, boira un vin blanc aqueux. Après l'éruption par les oreilles et l'amendement de la fièvre et de la douleur, il usera d'aliments relâchants, commençant par peu et ajoutant sans cesse. Il se baignera la tête avec de l'eau chaude ; il s'injectera dans les oreilles de l'eau pure et s'appliquera une éponge imprégnée de miel. Si malgré ces soins l'écoulement ne se sèche pas, mais devient chronique, introduisez, après injection, de la fleur d'argent, de la sandaraque, de la céruse, en quantités égales, finement broyées, vous en emplirez complétement l'oreille ; et s'il y a écoulement par les côtés, ajoutez du médicament. L'oreille étant devenue sèche, nettoyez-la et débarrassez-la du médicament par des injections. Puis, l'oreille séchée étant dans les premiers moments obtuse, faites-y de légères vaporisations ; de cette façon les choses se remettront avec le temps. Les malades succombent encore quand la douleur intense de l'oreille ne donne pas lieu, dans les sept jours, à une éruption. On lavera le patient avec beaucoup d'eau chaude ; on mouillera d'eau chaude des éponges, on les exprimera, et on les appliquera chaudes à l'oreille. Si ces moyens ne procurent pas l'éruption, on exposera l'oreille à la vapeur d'eau. On usera des mêmes potages et des mêmes boissons que dans le cas précédent.

15. (*Affection cérébrale aiguë. Trépanation.*) Autre maladie : quand de l'eau se forme dans l'encéphale, une douleur aiguë

Ald. – ῥήγνυνται θ. – ῥηγνύηται EH. – ῥυμφήμασι EF, Ald. – ῥύμμασι GHIK. – ῥύμασι J. – αὐτὸ EHIJKθ. — [9] ἑτέρα E. – ἄλλη IJ. – ἂν E.

ὀξείη ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλῃ, [1]καὶ ῥῖγος καὶ πυρετὸς [2]ἄλλοτε καὶ ἄλλοτε, καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει, καὶ ἀμβλυώσσει, καὶ ἡ κόρη σχίζεται, καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾷν, καὶ ἢν ἀναστῇ, σκοτοδινίη μιν λαμβάνει, καὶ τὸν ἄνεμον οὐκ ἀνέχεται οὐδὲ τὸν ἥλιον, καὶ τὰ ὦτα τέτριγε, καὶ τῷ ψόφῳ ἄχθεται [3]ἀκούων, καὶ ἐμέει σίελα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία, καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς, καὶ ἥδεται ψαυόμενος. Ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν [4]δοῦναί οἱ πιέειν φάρμακον ἄνω, ὅ τι φλέγμα ἄξει, καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι· ἔπειτα διαλείπων φάρμακον πῖσαι κάτω· ἔπειτα σιτίοισιν ἀνακομίζειν αὐτὸν ὡς ὑποχωρητικωτάτοισιν, ὀλίγα ἀεὶ προστιθείς· ἐπὴν δὲ κατεσθίῃ ἤδη τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις, τῷ [5]φακίῳ συμμίσγων μέλι καὶ ὄξος, λάχανα προτρώγων, καὶ τῇ ἡμέρῃ ταύτῃ ᾗ ἂν ἐμέσῃ, πρῶτον μὲν κυκεῶνα πινέτω λεπτόν· ἔπειτα [6]ἐς ἑσπέρην σιτίοισιν ὀλίγοισι χρήσθω, καὶ ἀλουτεέτω· [7]καὶ περιπατείτω ἀπὸ τῶν σιτίων καὶ ὄρθρου, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον, καὶ πρὸς πῦρ μὴ προσιέτω. Καὶ ἢν μὲν [8]τοιαῦτα ποιήσαντι ὑγιὴς γένηται· εἰ δὲ μή, προκαθήρας αὐτὸν ἄνω πρῶτον μὲν ἐλλεβόρῳ, ἔπειτα [9]ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον, καὶ διαλιπὼν ὀλίγον χρόνον κάτω καθῆραι· ἔπειτα ἀνακομίσας σιτίοισιν, εἶτα [10]καταταμὼν τὴν κεφαλὴν κατὰ τὸ βρέγμα, τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον, καὶ ἰῆσθαι ὡς πρίσμα.

16. [11]Ἄλλη νοῦσος· ῥῖγος καὶ ὀδύνη καὶ πυρετοὶ διὰ τῆς κεφαλῆς, μάλιστα δὲ ἐς τὸ οὖς καὶ ἐς τοὺς κροτάφους καὶ ἐς τὸ βρέγμα, καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει, καὶ αἱ ὀφρύες δοκέουσίν οἱ ἐπικέεσθαι, καὶ τὴν κεφαλὴν βάρος [12]ἔχει, καὶ ἤν τίς μιν κινήσῃ, ἐμέσει,

[1] Καὶ ῥ. κ. π. ἄλ. κ. ἄλ. om. K. — [2] Ante ἄλ. addunt καὶ FG. — [3] ἀκούων om. θ. – σίαλα (E, al. manu ε) HJK. — [4] δοῦναι ponitur post φάρμ. EHθ. – πιεῖν θ. – ὅ τι ἄνω Lind., Mack. – πίσαι vulg. – αἰεὶ Lind., Mack. – ἤδη ponitur post σιτία E. — [5] φαρμακείῳ H. – φακείῳ vulg. – συσμίγων J. – ᾗ θ, Lind., Mack. – ᾗ om. vulg. – πιέτω, al. manu πινέτω H. — [6] ἐς om. K. – κεχρήσθω J. — [7] καὶ περ. om. θ. — [8] τοι ταῦτα pro τοιαῦτα θ. – ταῦτα E. – ποιήσηται Lθ, Lind., Mack. – προκαθῆρας Ald., Frob. – αὐτὸν τοῦ ἦρος πρῶτον vulg. – τοῦ ἦρος ne peut être conservé; pourquoi le printemps? et si la maladie est en été? D'ailleurs comparez cette phrase avec la phrase parallèle, plus haut, l. 8, et vous verrez qu'au lieu de τοῦ ἦρος il faut lire ἄνω ou quelque chose d'analogue. – ἐλεβ. J. — [9] καὶ (καὶ om. EH) ἐς vulg. – εἰς HIJK. – ἀνακομίσαι L. — [10] ταμὼν (E, al. manu κατα) FHIJKθ. – τὸ om. J. – τραπῆσαι Ald. — [11] ἑτέρη K. – καὶ (καὶ om. vulg.) ὀδ. EQ'θ, Lind., Mack. –

se fait sentir au bregma et aux tempes, tantôt en un point, tantôt en un autre; il y a de temps à autre frisson et fièvre; la région des yeux est douloureuse; le patient a de l'amblyopie, la pupille se divise, et pour un objet il lui semble en voir deux. S'il se lève, il est pris de vertige; il ne supporte ni le vent ni le soleil; les oreilles lui tintent, le bruit lui cause de l'impatience; il vomit de la salive, de la pituite, parfois même les aliments. La peau de la tête s'amincit, et on lui fait plaisir en le touchant. En cet état, on lui donnera d'abord à boire un phlegmagogue évacuant par le haut, puis on purgera la tête. Après une intermission, on administrera un médicament qui évacue par le bas; après, on le restaurera par des aliments très-relâchants, dont on augmentera très-graduellement la quantité. Arrivé à une alimentation suffisante, il usera des vomissements à jeun, mêlant du miel et du vinaigre à la décoction de lentilles, et mangeant d'abord des légumes. Le jour où il vomit, il boira d'abord un cycéon léger (*sorte de bouillie*), puis le soir il usera de peu d'aliments. Il s'abstiendra du bain. Il se promènera après les aliments et le matin, se gardant du vent et du soleil. Il ne se mettra pas auprès du feu. Si par ces moyens il guérit, tout est dit. Sinon, purgez-le d'abord préalablement par le haut avec l'hellébore, puis introduisez un errhin dans les narines, et, après une courte intermission, purgez par le bas. Puis restaurez avec des aliments; cela fait, incisez la tête au bregma, perforez jusqu'au cerveau, et traitez comme une trépanation par la scie.

16. (*Affection cérébrale et otite, suite d'une fièvre.*) Autre maladie : frisson, douleur et fièvres à travers la tête, surtout à l'oreille, aux tempes et au bregma; le patient souffre à la région des yeux; les sourcils lui paraissent un poids; il a de la

58. (*Répétition du paragraphe 34, au moins dans la partie qui commence par :* quand les deux lobes du poumon sont en spasme, etc. *Cela porterait à croire qu'au lieu de* πλησθεὶς, rempli, *on peut lire ici* σπασθεὶς, en spasme, *ou bien; plus haut, au lieu de* σπασθέντα, en spasme, *lire* πλησθέντα, remplis.) Poumon rempli : quand le poumon se remplit, il y a toux, orthopnée, anhélation; le malade tire la langue, le corps se couvre de rougeurs, il y a prurit; une douleur aiguë se fait sentir à la poitrine et aux omoplates; il ne supporte d'être ni assis ni couché ni debout; il est très-faible. Un tel malade succombe d'ordinaire le quatrième jour; s'il va plus loin, les chances de salut ne sont pas encore nombreuses; et le danger recommence au septième jour; mais, s'il passe les sept, il guérit. Les choses étant ainsi, on le lavera avec beaucoup d'eau chaude deux fois par jour; quand il y a douleur, on fait des applications chaudes; on donne à boire du miel et du vinaigre bouilli; en potage, la décoction d'orge; et, par-dessus, du vin. Si le bain et les applications chaudes le font souffrir et qu'il ne les supporte pas, on aura recours aux applications froides; on lui donnera à boire aussi froide que possible une infusion de rayon de miel, et il sera couché au frais. Voilà ce qu'il faut faire; cette maladie est difficile et dangereuse.

59. [1] Ὁ πλεύμων προσπεσὼν ἐς τὸ πλευρόν· [2] ἢν ὁ πλεύμων πρὸς τὸ πλευρὸν προσπέσῃ, βὴξ ἴσχει καὶ ὀρθοπνοίη, καὶ σίαλον βήσσεται λευκὸν, καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει, καὶ ὠθέει προσκείμενος, καὶ δοκέει τι ἐγκέεσθαι βαρὺ ἐν [3] τοῖσι στήθεσι, καὶ κεντέουσιν ὀδύναι ὀξεῖαι, καὶ τρίζει οἷον μάσθλης, καὶ τὴν πνοιὴν ἐπέχει· καὶ ἐπὶ μὲν τὸ πονέον ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιὲς οὔ, ἀλλὰ δοκέει τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ [4] ἐκ τοῦ πλευροῦ, καὶ διαπνέειν δοκέει διὰ τοῦ στήθεος. Τοῦτον λούειν θερμῷ πολλῷ δὶς τῆς ἡμέρης, καὶ μελίκρητον [5] πιπίσκειν, καὶ ἐκ τοῦ λουτροῦ, οἶνον λευκὸν κεραννὺς καὶ μέλι ὀλίγον, καὶ δαύκου καρπὸν τρίψας καὶ τῆς κενταυρίης, διεὶς τούτοισι, διδόναι χλιαρὸν καταῤῥοφάνειν· καὶ προστιθέναι πρὸς τὸ πλευρὸν ἐς [6] ἀσκεῖον ἢ ἐς βοείην κύστιν ὕδωρ χλιαρὸν ἐγχέων, καὶ ταινίῃ συνδεῖν τὰ στήθεα, καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιὲς, καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρὸν, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. Ἢν [7] δὲ ἐκ τρώματος τοῦτο γένηται ἢ τμηθέντι ἐμπύῳ, γίνεται γὰρ, [8] τούτῳ κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης καὶ εἰσιέναι ἔσω, [9] καὶ μοτὸν στερεὸν κασσιτέρινον ἐντιθέναι, καὶ ἀπωθέειν πρόσω. Οὕτω διαιτῶν τυγχάνοις ἂν μάλιστα.

60. [10] Τοῦ πλευροῦ φῦμα· [11] ἐπὴν ἐν πλευρῷ φῦμα ᾖ, βὴξ ἴσχει σκληρὴ καὶ ὀδύνη καὶ πυρετὸς, καὶ ἔγκειται βαρὺ ἐν τῷ πλευρῷ, καὶ ὀδύνη ὀξέη ἐς τὸ αὐτὸ ἀεὶ [12] χωρίον λαμβάνει, καὶ δίψα ἰσχυρὴ, καὶ ἀπερεύγεται τὸ πόμα θερμὸν, καὶ ἐπὶ μὲν τὸ ἀλγέον οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιές· ἀλλ' ἐπὴν κατακλίνῃ, [13] δοκέει οἷόν

[1] Ὁ π. π. ἐς τ. π. om. Hθ. – περὶ τοῦ ἐὰν ὁ πλεύμων προσπέσῃ ἐς τὸ πλευρὸν FG (EIJK, sine περὶ τοῦ). — [2] ἂν E. – πν. EGHJK. — [3] τῇσι H. – καὶ τρίζει (τρύζει E) τὸ αἷμα (δέρμα pro αἷμα θ) οἷον μάσθλης vulg. – Gal. Gl. : μάσθλης, θέρμης. Il faut lire dans Galien δέρμα au lieu de θέρμης. Cela établi, voici comment je conçois que notre passage s'est altéré. En regard de μάσθλης, en marge, on a mis la glose τὸ δέρμα, laquelle a pris ensuite place dans le texte ; le ms. θ l'a conservée, mais dans la plupart elle s'est altérée en τὸ αἷμα. Je lis donc : καὶ τρίζει οἷον μάσθλης. — [4] ἐκ EHθ. – ἀπὸ vulg. – ἡμέρας J. — [5] ἐπιπίνειν E. – κενταυρίας E. – καταροφάνειν vulg. – καταρυμφάνειν GHIJ, Ald. – καταῤῥυμφάνειν EK. — [6] ἀσκίον EH. – πτισσ. E. – πίνειν J. – ὑδ. οἶνον H. — [7] δ' EH. — [8] τοῦτο L. – ἐσιέναι Lind. — [9] ἐς pro καὶ (E, ἐς al. manu) FG (H, al. manu) IK. — [10] τ. π. φ. om. Hθ. – ἐὰν ἐν τῷ πλευρῷ φῦμα γένηται pro τ. π. φ. EFGIJK. — [11] ἐπὴν (addunt ἐν EHθ, Lind., Mack) πλευρῷ φῦμα γένηται (γέν. om., restit. al. manu H ; φύῃ θ), ἢ (ᾗ HJ ; ἢ om. θ, Lind., Mack) βὴξ ἴσχει (ἔχῃ E) vulg. – Je prends la leçon

59. (*Fausses membranes dans la plèvre; bruit de frottement; voy.* Argument, p. 3.) Poumon tombant contre le côté : quand le poumon tombe contre le côté, le malade a toux et orthopnée; l'expectoration est incolore; de la douleur se fait sentir à la poitrine et au dos; le poumon pousse, appuyant sur le côté; il semble au malade qu'il a un poids dans la poitrine; des douleurs aiguës le piquent; un bruit comme de cuir se fait entendre, et la respiration s'arrête. Le malade peut rester couché sur le côté douloureux, mais il ne le peut sur le côté sain, sentant alors comme quelque chose de pesant suspendu au côté. On dirait qu'il respire par la poitrine. Ce malade, on le lavera avec beaucoup d'eau chaude deux fois par jour; on lui fera boire du mélicrat. Après le bain, il prendra chaud ceci : mêlez du vin blanc et un peu de miel, pilez la graine du daucus et de la centaurée, et faites digérer. Vous appliquerez contre le côté, dans une petite outre ou dans une vessie de bœuf, de l'eau chaude. Vous serrerez la poitrine avec un bandage; et le malade se couchera sur le côté sain. Il prendra chaude la décoction d'orge, et, par-dessus, du vin coupé d'eau. Si cette affection survient à la suite d'une blessure ou d'une incision pour l'empyème (cela arrive quelquefois), on attachera une canule à une vessie, on remplira d'air la vessie, et on poussera l'air dans l'intérieur; on mettra en place une sonde solide d'étain et on la poussera en avant. C'est par ce traitement que vous réussirez surtout.

60. (*Abcès dans le côté donnant lieu à un empyème. Comp. le* § 57.) Tumeur du côté : quand une tumeur se forme au côté, il y a toux sèche, douleur et fièvre; un poids s'y fait sentir; une douleur aiguë est continuellement fixée au même point; la soif est vive; le malade régurgite la boisson chaude; il ne supporte pas d'être couché sur le côté douloureux, mais

de H, lisant ἦ au lieu de ἤ. – ἔγχυται (sic) J. – βαρὺ om., restit. al. manu H. – ὀξέη EHIJ. – ὀξείη vulg. – αὐτὸ om. J. — [12] λαμβ. χωρ. K. – ἀπεῤῥεύγεται vulg. – ἀπερεύγεται EHL, Lind., Mack. – ἀπορεύγεται IJK. — [13] δοκέη G. – ἐξερύθη vulg. – ἐξερύθει HL, Lind. – ἐξερεύθει E.

περ λίθος ἐκκρέμασθαι, καὶ ἐξοιδέει, καὶ ἐξερεύθει, καὶ οἱ πόδες οἰδέουσιν. Τοῦτον τάμνειν ἢ καίειν· ἔπειτα ἀφιέναι τὸ πῦον, ἔστ' ἂν γένηται δεκαταῖος, καὶ [1]μοτοῦν ὠμολίνῳ· ἐπὴν δὲ γένηται δεκαταῖος, ἐξιεὶς τὸ πῦον πᾶν, ἐσιέναι οἶνον καὶ ἔλαιον χλιήνας, ὡς μὴ ἐξαπίνης ἀποξηρανθῇ, καὶ μοτοῦν ὀθονίῳ· ἐξιεὶς δὲ τὸ [2]ἐγκεχυμένον, ἐγχέειν ἕτερον· ποιέειν δὲ ταῦτα πέντε ἡμέρας· ἐπὴν δὲ τὸ πῦον [3]λεπτὸν ἀποῤῥέῃ οἷον πτισάνης χυλὸς καὶ ὀλίγον, καὶ κολλῶδες ἐν τῇ χειρὶ ψαυόμενον ᾖ, κασσιτέρινον μοτὸν ἐντιθέναι, καὶ ἐπὴν παντάπασι ξηρανθῇ, ἀποτάμνων τε τοῦ μοτοῦ ὀλίγον, ἀεὶ ξυμφύειν τὸ ἕλκος πρὸς τὸν μοτόν.

61. [4]Ὕδερος πλεύμονος· ἢν [5]ὕδερος ἐν τῷ πλεύμονι γένηται, πυρετὸς καὶ βὴξ ἴσχει, καὶ ἀναπνέει ἀθρόον, καὶ οἱ πόδες οἰδέουσι, καὶ οἱ ὄνυχες ἕλκονται πάντες, καὶ πάσχει οἷά περ ἔμπυος γενόμενος, βληχρότερον δὲ καὶ πολυχρονιώτερον· καὶ ἢν ἐγχέῃς ἢ πυριᾷς ἢ θυμιᾷς, οὐχ ὁμαρτέει πῦον· [6]τούτῳ ἂν γνοίης ὅτι οὐ πῦον, ἀλλὰ ὕδωρ ἐστί· καὶ ἢν πολλὸν χρόνον προσέχων τὸ οὖς ἀκουάζῃ πρὸς τὰ πλευρὰ, [7]ζέει ἔσωθεν οἷον ὄξος. Καὶ ἕως μέν τινος ταῦτα πάσχει, ἔπειτα δὲ ῥήγνυται [8]πρὸς τὴν κοιλίην· καὶ αὐτίκα μὲν δοκέει ὑγιὴς εἶναι καὶ τῆς νούσου ἀπηλλάχθαι, τῷ δὲ χρόνῳ ἡ κοιλίη ἐμπίπραται, καὶ τά τε αὐτὰ κεῖνα πάσχει καὶ μᾶλλον· ἔνιοι δὲ καὶ οἰδίσκονται τὴν γαστέρα καὶ τὴν ὄσχην καὶ τὸ πρόσωπον, καὶ ἔνιοι δοκέουσιν εἶναι ἀπὸ τῆς κοιλίης τῆς κάτω, ὁρῶντες τὴν γαστέρα μεγάλην καὶ τοὺς πόδας οἰδέοντας· [9]οἰδίσκεται δὲ ταῦτα, ἢν ὑπερβάλῃς τὸν καιρὸν τῆς τομῆς. Τοῦτον χρὴ, ἢν μὲν ἀποιδήσῃ ἔξω, ταμόντα διὰ τῶν πλευρέων ἰῆ-

[1] Μωτοῦν J. – χλιάνας vulg. – χλιήνας EHθ, Mack. – ξηρανθῇ θ. — [2] ἐκκεχυμένον vulg. – ἐγκεχυμένον EHP', Mack. – ποιέει Ald. — [3] λευκὸν EP'Q', Mack. – πτισσ. E. – καὶ ὀλίγον (χλιαρὸν malit Foes in not.; γλίσχρον P', Lind.) ἐν τῇ vulg. – καὶ ὀλίγον καὶ κολλῶδες ἐν τῇ θ. – ψαυόμενον ᾖ (ῇ EK P'Q', Lind., Mack) vulg. – ἀποτάμων (sic) IK. — [4] ὕ. π. om. Hθ. – ἐὰν ὕδερος ἐν τῷ πλεύμονι γένηται pro ὕ. π. EFGIJK. — [5] ἂν E. – δὲ (δὲ om. EHθ) ὕδερος vulg. – πν. EGIJK. – οἰδαίουσι I. – ἢ θυμίαις ἢ πυρίαις θ. — [6] τοῦτο G. – ἢν pro ἂν GIJK, Ald., Frob. — [7] ὄζει vulg. – ὤζει Lind. – ὄψει K. – ἔξωθεν L. – ψόφος pro ὄξος Lind. – Cette phrase est altérée; et, comme elle figure dans l'histoire de l'auscultation (voy. Laennec, *De l'Auscultation médiate*, 3e édition, t. I, p. 37), il faut craindre d'y importer rien de moderne. Cependant le mot ἀκουάζῃ, et, quelques lignes plus bas, ὅπῃ ἂν ψοφέῃ, montrent bien qu'il s'agit d'un son. Dès lors la correction depuis longtemps proposée par Cornarius, ζέει, semble ce qu'il y a de mieux. — [8] ἐς

il le supporte sur le côté sain. Quand il est couché, il lui semble qu'une pierre lui est suspendue. Le côté enfle, il rougit; les pieds se tuméfient. A ce malade, il faut pratiquer l'incision ou la cautérisation, puis tirer le pus jusqu'à ce qu'on arrive au dixième jour, et mettre une tente de lin écru. Au dixième jour, ayant évacué tout le pus, injectez du vin et de l'huile tièdes, afin que le poumon ne se trouve pas subitement au sec, et mettez une tente de linge. On fait sortir l'injection et on en pratique une autre. On agit ainsi pendant cinq jours. Quand le pus coule ténu comme de la décoction d'orge et en petite quantité, et qu'il est collant au doigt, mettez une sonde d'étain; et, quand la suppuration est complétement tarie, coupez incessamment un peu de la sonde, et sur cette sonde procurez à mesure la cicatrisation.

61. (*Hydrothorax aiguë, paracentèse.*) Hydropisie du poumon : s'il se forme une hydropisie dans le poumon, le malade a de la fièvre et de la toux; la respiration est fréquente; les pieds enflent; tous les ongles se rétractent, et il éprouve les accidents de l'empyème, seulement avec moins de force et plus de lenteur. Si vous faites une infusion dans le poumon ou administrez un bain de vapeur ou une fumigation, le pus ne suit pas; par cela vous reconnaîtrez que c'est non du pus, mais de l'eau; et, si, appliquant l'oreille contre la poitrine, vous écoutez pendant longtemps, cela bout en dedans comme du vinaigre. Le malade éprouve ces accidents pendant quelque temps; puis l'éruption se fait dans la cavité [pleurale]. Sur l'instant il paraît guéri et délivré de la maladie; mais au bout d'un certain temps la cavité se remplit, les mêmes accidents renaissent et même avec plus de force. Chez quelques-uns le ventre, les bourses et le visage se tuméfient, et certains pensent que cela provient du ventre inférieur, voyant que l'abdomen est gros et que les pieds sont gonflés; or, ces parties enflent quand vous laissez passer le temps de l'incision. En ce

EHK'Q', Mack. – ἐμπίπλαται K. — [9] οἰδίσκονται J. – γὰρ (δὲ pro γὰρ EH) ταῦτα vulg. – ὑπερβάλλῃς vulg. – ὑπερβάλῃς K, Lind.

σθαι· ἢν δὲ μὴ ἀποιδέῃ, λούσαντα πολλῷ θερμῷ, καθίσαι ὥσπερ τοὺς ἐμπύους, καὶ ὅπῃ ἂν ψοφέῃ, ταύτῃ [1]τάμνειν· βούλεσθαι δὲ ὡς κατωτάτω, ὅκως τοι εὔροον ἔῃ. Ἐπὴν δὲ τάμῃς, μοτοῦν ὠμολίνῳ, [2]παχὺν καὶ ἔπακρον ποιήσας τὸν μοτὸν, καὶ ἀφιέναι τοῦ ὕδατος φειδόμενος ὡς ἐλάχιστα. Καὶ ἢν μέν σοι ἐν τῷ [3]μοτῷ πῦον περιγένηται πεμπταίῳ ἐόντι ἢ ἑκταίῳ, ὡς τὰ πολλὰ ἐκφυγγάνει· ἢν δὲ μὴ περιγένηται, ἐπὴν ἐξεράσῃς τὸ ὕδωρ, δίψα ἐπιλαμβάνει καὶ βήξ, καὶ ἀποθνήσκει.

62. [4]Στῆθος ἢ μετάφρενον ῥαγέν· [5]ἢν τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ, ὀδύναι ἴσχουσι τὸ στῆθος καὶ τὸ μετάφρενον διαμπερὲς, καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει, καὶ τὸ σίαλον ὕφαιμον βήσσεται, τὸ δ' οἷον θρὶξ διατρέχει διὰ τοῦ σιάλου αἱματώδης· μάλιστα δὲ ταῦτα πάσχει, ἢν τῇσι χερσί τι πονήσῃ ἢ [6]ἐφ' ἅμαξαν ἐπιβῇ ἢ ἐφ' ἵππον. Τοῦτον καίειν καὶ ἔμπροσθεν καὶ [7]ἐξόπισθεν μοίρῃ ἴσῃ ἑκάτερον, καὶ οὕτως ὑγιὴς γίνεται· ἐπισχεῖν δὲ τῶν πόνων ἐνιαυτὸν, καὶ παχῦναι ἐκ τῆς καύσιος.

63. [8]Πυρετὸς καυσώδης· πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρὴ, καὶ ἡ γλῶσσα τρηχείη καὶ μέλαινα καὶ χλωρὴ καὶ ξηρὴ [9]καὶ ἐξέρυθρος ἰσχυρῶς, καὶ οἱ ὀφθαλμοὶ χλωροὶ, καὶ ἀποπατέει ἐρυθρὸν καὶ χλωρὸν, καὶ οὐρέει τοιοῦτο, καὶ πτύει πολλόν· πολλάκις δὲ καὶ μεθίσταται [10]ὡς ἐπὶ περιπλευμονίην, καὶ παρακόπτει· τούτῳ ἂν γνοίης ὅτι [11]περιπλευμονίη γίνεται. Οὗτος ἢν μὲν γένηται περιπλευμονικὸς, [12]ἢν τεσσαρεσκαίδεκα ἡμέρας ὑπερφύγῃ, ὑγιὴς γίνεται· ἢν δὲ γένηται

[1] Τέμνειν E. – ὅπως EGHIJ, Ald. – τι pro τοι L. – ᾖ EH. — [2] παχεῖ K. – παχὺν [δὲ] καὶ Lind. – ἐπ' ἄκρον EK. – ποιήσας EH. – ποιήσασθαι vulg. – αἵματος pro ὕδατος K'θ, Mack. — [3] τόπω, al. manu μοτῷ H. – ἢ ἑκταίω θ, Mack. – ἢ ἑκτ. om. vulg. – ἐπὴν δ' ἐξαρύσῃς Mack. – ἐπὴν δὲ ξηράσῃς (sic) θ. – ἐξαρύσῃς Lind. – Rectius servarunt ἐξεράσῃς Codd., ait Lobeck, Phryn. Ecl., p. 64. – δῖψα H. – ἐπιλαμβάνῃ E. — [4] σ. ἢ μ. ῥ. om. FGHIJθ. – ῥῆγμα στήθεος ἢ μεταφρένου K. – ἐὰν τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ E. — [5] Ante ἢν addit ἄλλη νοῦσος L. – καὶ pro ἢ θ. — [6] ἐπ' ἅμαξαν GHIJK, Ald., Frob., Lind. — [7] ἐξόπισθεν EHθ. – ὄπισθεν vulg. – μοιρήσῃ (μήρῃ ὅσῃ L; μοίρῃ ἴσῃ θ, Mack; ἐν μέρει ἢ Lind.) ἑκάτερον vulg. – τῶν πόνων EHθ, Mack. – τὸν πόνον vulg. – ἐνέαυτὸν (sic) J. — [8] π. om. IJKθ. – π. κ. om. H. – καυσ. π. E. – περὶ πυρετοῦ καυσώδους FG. – δῖψα H. – τραχείη EHIJK. — [9] ἢ pro καὶ Kθ, Lind., Mack. – τοιοῦτον EGIKθ. – τοῦτο, al. manu τοιοῦτο H. — [10] ἐς pro ὡς ἐπὶ θ, Mack. – ἐπὶ om. (E, restit. al. manu) FGIK, Ald. – ὡς ἐπὶ, ne signifiant pas plus que ἐπὶ, peut être conservé. – περιπν. K. – τοῦτο EG. —

cas, s'il y a tuméfaction au dehors, il faut inciser entre les côtes et traiter. S'il n'y a point de tuméfaction, on lavera le malade avec beaucoup d'eau chaude, on l'assoiera comme les empyématiques, et on pratiquera l'incision là où le bruit se fait entendre. On doit désirer que ce soit le plus bas possible, afin que l'écoulement soit libre. Après l'incision, on mettra une tente en lin écru, grosse et pointue par le bas. On ne tirera que très-peu d'eau à la fois. Si du pus apparaît sur la tente le cinquième jour ou le sixième, les malades réchappent la plupart du temps; s'il n'y a pas de pus, l'eau étant évacuée, la soif et la toux surviennent et ils succombent.

62. (*Rupture de la poitrine, c'est-à-dire accidents inflammatoires succédant à un effort ou à quelque violence; voy.* t. V, p. 579.) Rupture de la poitrine ou du dos : si la poitrine ou le dos éprouvent une rupture, des douleurs se font sentir à la poitrine et au dos tout entier; il survient de la chaleur de temps à autre. L'expectoration est sanguinolente, un filet de sang s'y fait voir. Le malade éprouve surtout ces accidents s'il travaille avec les mains, s'il va en voiture ou à cheval. En ce cas, on cautérise en avant et en arrière, alternativement, et de cette façon le malade guérit. Mais il s'abstiendra de tout travail pendant un an, et après la cautérisation il suivra un régime qui lui donne de l'embonpoint.

63. (*Fièvre ardente; transformation en péripneumonie.*) Fièvre causode : il y a fièvre et forte soif; la langue est raboteuse, noire, jaune, sèche, très-rouge; les yeux sont jaunes, les déjections sont rouges et jaunes; l'urine est semblable; le malade crache beaucoup. Souvent la fièvre se change en péripneumonie, et il délire; à ce signe vous reconnaîtrez que la péripneumonie survient. En cas de transformation péripneumonique, s'il passe quatorze jours, il guérit. Arrivé à dix-huit jours, si, ne s'étant pas mondifié, il crache du pus, on lui fera boire l'eau de farine d'orge, et ensuite du vi-

— [11] περιπν. (bis) K. — [12] καὶ (ἦν pro καὶ θ) vulg. – ἐκφύγῃ J. – ὑπεκφύγῃ K.

ἐν ὀκτωκαίδεκα ἡμέρῃσιν, ἢν [1]μὲν ἀκάθαρτος γενόμενος [2]ἔμπυος γένηται, τοῦτον χρὴ πίνειν τὸ ἀπὸ τοῦ κρίμνου, καὶ μεταπίνειν ὄξος ὡς εὐωδέστατον λευκὸν, καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης δὶς τῆς ἡμέρης, ἢν [3]δὲ ἀσθενὴς ᾖ, τρὶς, καὶ ἐπιπίνειν οἶνον οἰνώδεα, λευκὸν, ὑδαρέα, καὶ λούειν ὡς ἐλάχιστα· ἢν [4]δὲ ἔμπυος γένηται, διαιτᾷν ὡς ἔμπυον.

64. [5]Πυρετὸς λυγγώδης· πυρετὸς ἴσχει σπερχνὸς, καὶ ῥῖγος, καὶ βὴξ, καὶ [6]λὺγξ, καὶ βήσσει ἅμα τῷ σιάλῳ θρόμβους αἵματος, καὶ ἑβδομαῖος ἀποθνήσκει· ἢν δὲ δέκα ἡμέρας ὑπερφύγῃ, ῥάων γίνεται· εἰκοστῇ [7]δὲ ἡμέρῃ ἐμπυΐσκεται, καὶ βήσσει τὰς πρώτας ἡμέρας πῦον ὀλίγον, [8]ἔπειτα ἐπιπλέον· καθαίρεται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσι. Τοῦτον τὰς μὲν πρώτας ἡμέρας πιπίσκειν τὸ ὄξος καὶ τὸ μέλι ἑφθὸν, [9]καὶ μεταμίσγειν ὄξος καὶ ὕδωρ ὑδαρὲς ποιέων· ῥοφάνειν δὲ χυλὸν πτισάνης [10]μέλι ὀλίγον παραμίσγων, καὶ οἶνον ἐπιπίνειν λευκὸν οἰνώδεα· ἐπὴν δὲ δέκα ἡμέραι παρέλθωσιν, ἢν τὸ πῦρ παύσηται καὶ τὸ πτύαλον καθαρὸν ᾖ, τὴν πτισάνην ὅλην ῥοφανέτω ἢ τὸν κέγχρον· ἢν [11]δὲ εἰκοσταῖος τὸ πῦον πτύσῃ, πινέτω, κόψας καὶ σήσας τὸν ἐλελίσφακον καὶ πήγανον καὶ θύμβρην καὶ ὀρίγανον καὶ ὑπερικὸν, ἴσον ἑκάστου [12]ξυμμίσγων, ὅσον σκαφίδα σμικρὴν ξυμπάντων, καὶ ἀλφίτων τὸ αὐτὸ [13]ἐπὶ οἴνῳ γλυκεῖ κεχρημένῳ, νήστει πίνειν· καὶ ῥοφανέτω ἢν χειμὼν ᾖ ἢ μετόπωρον ἢ ἔαρ· ἢν δὲ θέρος ᾖ, μή· ἀλλ' ἀμυγδάλια τρίβων καὶ σικύου σπέρμα [14]πεφωσμένον καὶ σήσαμον ἴσον ἑκάστου, σύμπαν δὲ ὅσον σκαφίδα, ἐπιχέας ὕδατος ὅσον κοτύλην αἰγιναίαν, ἄλητον ἐπιπάσσων καὶ κηρίον, τοῦτο ῥοφανέτω μετὰ τὸ πόμα· σιτίοισι δὲ χρήσθω λιπαροῖσι καὶ ἁλμυροῖσι καὶ θαλασσίοισι μᾶλλον ἢ κρέασι· [15]λούσθω δὲ θερμῷ, τὴν κεφαλὴν ὡς ἐλάχιστα. Ταῦτα ποιέων ἀπαλλάσσεται τῆς νούσου.

[1] Μὴ (μὲν pro μὴ θ, Mack) vulg. — [2] Il faut peut-être lire πῦον πτύηται (voy. le passage parallèle, p. 66, l. 11); en tout cas il faut traduire en ce sens tant à cause du passage parallèle que de la correspondance avec le membre : ἢν δὲ ἔμπυος γένηται. – τὸ om. FG. – κρήμνου HK. – ῥυμφάνειν EHIJK, Ald. – πτισσ. E. — [3] δ' E. – ἀσθενήσῃ θ, Mack. – εὐώδεα pro οἰνώδεα λ. ὑδ., quæ sunt restituta al. manu E. – ἐλαχίστω θ. — [4] δ' EH. — [5] π. om. IJK. – π. λ. om. H. – λυγγ. π. E. – περὶ πυρετοῦ λυγγώδους FG. – Erot. Gl., p. 350 : σπερχνὸν, συνεχές. — [6] λὺξ GJ. — [7] δ' EH. — [8] ἔπει (sic), al. manu ἔπειτα H. – ἐφθὸν I. — [9] καὶ.... ποιέων om., restit. al. manu cum πιέον (sic) H. – πιέων vulg. – ποιῶν K. – ποιέων HI, Mack. – ῥυμφάνειν EGHIJK, Ald. – μὲν (δὲ EHIJKLθ, Lind., Mack) χυλὸν vulg. – πτισσ. E. — [10] μέλι om. FG. –

naigre blanc bien odorant; il prendra en potage la décoction d'orge deux fois par jour, en cas de faiblesse trois fois, et pardessus il boira un vin généreux, blanc, coupé d'eau; on le lavera très-peu. S'il devient empyématique, on le traitera comme tel.

64. (*Apoplexie pulmonaire; voy.* des Mal. III, § 16.) Fièvre singultueuse : il y a fièvre intense, frisson, toux, hocquet; le malade rend, avec l'expectoration, des grumeaux de sang, et il meurt au septième jour. S'il passe dix jours, il se trouve mieux; mais, le vingtième, une suppuration se forme, et les premiers jours il expectore un peu de pus, ensuite davantage. Il se mondifie en quarante jours. A ce malade, les premiers jours, on donnera à boire le vinaigre et le miel cuits, on coupera le vinaigre avec l'eau de manière à faire un liquide aqueux. Pour potage il aura la décoction d'orge, où l'on mêlera un peu de miel; par-dessus, il boira un vin blanc généreux. Dix jours étant écoulés, si la fièvre tombe et que l'expectoration soit pure, il prendra en potage l'orge avec la décoction ou le panic. Mais si au vingtième il crache du pus, pilez et passez sauge, rue, sarriette, origan, hypéricum, à dose égale, plein une petite scaphis (*coquille de moule d'après* Gal. Gl.) en tout, même quantité de farine d'orge, et faites boire à jeun dans un vin doux coupé; il prendra ce breuvage en hiver, en automne ou au printemps, mais non pendant l'été. En place, pilez des amandes, de la graine de courge torréfiée, du sésame, de chaque autant, plein une scaphis en tout, versez de l'eau plein une cotyle d'Égine, saupoudrez avec de la farine et du rayon de miel; le malade prendra ce potage après sa boisson. Il usera d'aliments gras, salés, poissons de



μὲν pro μέλι (E, al. manu μέλι post ὀλίγον) HIJK. – οἶον, al. manu οἶνον H. – πτισσ. E. – ῥυμφανέτω EHIJK, Ald. — [11] δ' EH. – σίσας J. – θρύμβρην FG, Ald. — [12] σ. EHIJK. – σκαφίδας IJP'. – μικρὴν IK. – Gal. Gl. : σκαφίδα, τὴν παραθαλασσίαν κόγχην τὴν παραμηκεστέραν, ἣν καὶ μύακα προσαγορεύουσιν. — [13] ἐπ' EH. – γλυκὺ J. – ῥυμφανέτω EGHIJK, Ald. — [14] πεφωγμένον θ. – σίσαμον GIJ. – αἰγιναῖαν H. – τοῦτον GJ. – ῥυμφανέτω EGIJK, Ald. – ῥυφανέτω H. — [15] καὶ λ. sine δὲ EHθ, Mack. – τὴν δὲ κεφαλὴν θ, Mack. – νόσου G.

65. [1]Νοῦσος ἡ καλουμένη λήθαργος· βὴξ ἴσχει, καὶ τὸ σίαλον πτύει πουλὺ καὶ ὑγρὸν, καὶ φλυηρέει, καὶ ὅταν παύσηται φλυηρέων, [2]εὕδει, καὶ ἀποπατέει κάκοδμον. Τοῦτον πιπίσκειν τὸ ἀπὸ τοῦ κρίμνου, καὶ μεταπιπίσκειν οἶνον λευκὸν οἰνώδεα, καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης· [3]ξυμμίσγειν δὲ σίδης χυλὸν· καὶ οἶνον ἐπιπίνειν οἰνώδεα λευκὸν, καὶ μὴ λούειν. Οὗτος ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ ταύτας ὑπερφύγῃ, ὑγιὴς γίνεται.

66. [4]Ἑτέρη νοῦσος ἡ λεγομένη αὐαντή· οὐκ ἀνέχεται ἄσιτος οὐδὲ βεβρωκὼς, ἀλλ' ὅταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει, καὶ καρδιώσσει, καὶ ἐμέει ἄλλοτε ἀλλοῖα, [5]καὶ χολὴν καὶ σίαλα καὶ λάπην καὶ δριμὺ, καὶ ἐπὴν ἐμέσῃ, ῥᾴων δοκέει εἶναι ἐπ' ὀλίγον· ἐπὴν δὲ φάγῃ, [6]ἐρύγματά οἱ γίνεται, καὶ φλογιᾷ, καὶ ἀποπατήσειν αἰεὶ οἴεται πουλύ· ἐπὴν δὲ καθίζηται, φῦσα ὑποχωρέει· καὶ τὴν κεφαλὴν ὀδύνη ἔχει, καὶ τὸ σῶμα πᾶν ὥσπερ ῥαφὶς κεντέειν δοκέει ἄλλοτε [7]ἄλλῃ, καὶ τὰ σκέλεα βαρέα καὶ ἀσθενέα, [8]καὶ μινύθει καὶ ἀσθενὴς γίνεται. Τοῦτον φάρμακον πιπίσκειν, πρῶτον μὲν κάτω, ἔπειτα δὲ ἄνω, καὶ τὴν κεφαλὴν καθαίρειν· καὶ σιτίων ἀπέχεσθαι γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων καὶ θωρηξίων· ἐμέειν [9]δὲ τοῖσι χυλοῖσι καὶ ἀπὸ σιτίων, καὶ τὴν ὥρην ὄνου γάλα ἢ ὀῤῥὸν πιπίσκων, φάρμακον προσπῖσαι, ὁκοτέρου ἄν σοι δοκέῃ μᾶλλον δεῖσθαι· [10]ψυχρολουτέειν δὲ τὸ θέρος καὶ τὸ ἔαρ, τὸ φθινόπωρον δὲ καὶ τὸν χειμῶνα ἀλείμματι χρῆσθαι, καὶ περιπατέειν, καὶ γυμνάζεσθαι ὀλίγα· ἢν [11]δὲ ἀσθενέστερος ᾖ ἢ ὥστε γυμνάζεσθαι, ὁδοιπορίῃ χρῆσθαι· καὶ σιτίοισι ψυχροῖσι

[1] N. ἡ κ. om. EHIJKθ. – πολὺ EH. – ὁπόταν K. — [2] εὕδει IK, Ald., Frob. – εὕδῃ J. – ἄδει (E, al. manu in marg. εὕδει) P'Q', Mack. – αὕδει L. – Ante κάκοδμον addit καὶ H. – καὶ pro τὸ J. – κρήμνου HK. – οἰνώδεα λευκὸν EHIJK. – ῥυμφάνειν EGHIJK, Ald. – πτισσ. E. — [3] ξυσμίγειν IJ. – τε pro δὲ IK. – λευκὸν οἰνώδεα EHIJK. — [4] ἑτέρη.... αὐαντὴ om. H. – ἑτέρη om. IK. – νόσος ἡ λεγομένη ἀβάντη EJ. – ἀβάντη ILQ'. – ἀνάντη Ald. – λυαντὴ θ, Mack. – Gal. Gl. : αὐαντὴ ἡ αὐαψὴ, τις ξηραντικὴ νόσος. — [5] καὶ χ. om. K. – λάπτην θ, Mack. — [6] ἐῤῥύγματα G. – ἐρύγμαι τε καὶ φλογίαι θ. – οἱ γίνεται om. (E, restit. al. manu) FGHIJK. – ἀποπατήσει, al. manu σειν H. – αἰεὶ EH. – ἀεὶ vulg. – πολὺ E. – δοκέει EHIK. – δοκεῖ vulg. — [7] ἄλλο pro ἄλλῃ FG. — [8] καὶ ἀσθ. γίν. καὶ μιν. E. – θοριξίων EIJ. – θωρίξιων Lind. — [9] δὲ om. H. – ὀρὸν, al. manu ὀῤῥὸν H. – προσπ., al. manu προπ. H. – προπ., al. manu προσπ. E. – ὁποτέρου EGHIJK, Ald. – ἂν θ. – ἂν om. vulg. – δοκέει EIJK. — [10] Ante ψ. addunt καὶ L, Mack. – ψ. δὲ (δὲ om. vulg.) θ. – ἄλειμμά τι J. – Post χρῆσθαι addit ψυχρὸν καὶ λεπτὸν ὀλίγον punctis notatum I. — [11] δ' EH. – ἢ om.

mer plutôt que viande. Il se lavera à l'eau chaude, excepté la tête. Par ces moyens il arrive à guérison.

65. (*Fièvre pseudo-continue avec somnolence, voy. t. II, p.* 572.) Maladie dite léthargus : le malade tousse, l'expectoration est abondante et aqueuse, il délire; et, quand il cesse de délirer, il dort. Les selles sont fétides. A ce malade on fera boire l'eau de farine d'orge, et, après, un vin blanc généreux; pour potage, la décoction d'orge; on y mêlera du jus de grenade. Par-dessus, on lui fera boire du vin blanc. Il ne prendra pas de bain. Ce malade meurt en sept jours; s'il passe ce terme, il guérit.

66. (*Sorte d'hypochondrie.*) Autre maladie dite desséchante : pour le patient il est également insupportable d'être à jeun ou d'avoir mangé. Quand il est à jeun, les viscères gargouillent, il a de la cardialgie, et il vomit de temps à autre des matières diverses, bile, salive, pituite, humeurs âcres; après le vomissement, il est plus à l'aise pour un peu de temps. A-t-il mangé? il lui vient des rapports, il est en feu, et croit sans cesse aller copieusement à la selle; mais, quand il se met sur le siége, il ne rend que des gaz. La tête est douloureuse. Le corps entier est comme piqué d'une aiguille tantôt en un endroit, tantôt en un autre. Les jambes sont pesantes et faibles. Le malade maigrit et s'affaiblit. A ce malade on fera boire un médicament qui évacue d'abord par en bas, puis par en haut. On purgera la tête. Il s'abstiendra des aliments doux, huileux, gras, et des excès de vin. Il vomira avec les décoctions et après les aliments. Dans la saison il boira du lait d'ânesse ou du petit lait, et vous lui ferez boire un médicament qui évacue par la voie que vous jugerez convenable. Il usera de bains froids en été et au printemps; en automne et en hiver il usera d'onctions, il marchera et fera quelque gymnastique. S'il est trop faible pour la gymnastique, il se contentera de la marche. Ses aliments seront froids et relâchants. Si le ventre n'est pas

vulg. – J'ai ajouté ἢ sans mss., ce mot ayant disparu à cause de ἢ qui précède. – ἀπολείπει θ, Lind., Mack. – ἀπολείπειν vulg.

καὶ διαχωρητικοῖσι χρήσθω· καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ. Ἡ δὲ νοῦσος χρονίη καὶ ἀπογηράσκοντας, ἢν μέλλῃ, ἀπολείπει· ἢν δὲ μὴ, συναποθνήσκει.

67. [1]Πυρετὸς ὁ φονώδης λεγόμενος· πυρετὸς ἴσχει καὶ ῥῖγος, καὶ αἱ ὀφρύες [2]ἐπικρέμασθαι δοκέουσι, καὶ τὴν κεφαλὴν ἀλγέει, [3]καὶ ἐμέει σίαλον θερμὸν καὶ χολὴν πολλήν· ἐνίοτε καὶ κάτω ὑποχωρέει· καὶ τοὺς ὀφθαλμοὺς αἱ χῶραι οὐ χωρέουσι, καὶ ὀδύνη ἐς τὸν αὐχένα καὶ [4]ἐς τοὺς βουβῶνας ἴσχει· καὶ δυσθενεῖ καὶ φλυηρέει. Οὗτος ἑβδομαῖος ἢ [5]καὶ πρότερον ἀποθνήσκει· ἢν δὲ ταύτας ὑπερφύγῃ, ὡς τὰ πολλὰ ὑγιαίνει· ἡ δὲ νοῦσος θανατώδης. Τούτῳ ψύγματα χρὴ προσίσχειν πρὸς τὰ σπλάγχνα καὶ πρὸς τὴν κεφαλὴν, καὶ πίνειν διδόναι ἐρείξαντα τὰς κάχρυς [6]σὺν τοῖσιν ἀχύροισιν, ἀποβρέχοντα, ἀπηθέοντα τὸ ὕδωρ, ἐν τούτῳ μελίκρητον ποιέοντα, ὑδαρὲς τοῦτο διδόναι· σιτίον δὲ μὴ προσφέρειν μηδὲ ῥόφημα ἑπτὰ ἡμερέων [7]ἄχρις, ἢν μὴ ἀσθενής σοι δοκέῃ εἶναι· ἢν δὲ ᾖ, χυλὸν πτισάνης ψυχρὸν καὶ λεπτὸν ὀλίγον διδόναι δὶς τῆς ἡμέρης, [8]καὶ ἐπιπίνειν ὕδωρ· ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ τὸ πῦρ μεθῇ, κέγχρον λείχειν· ἐς ἑσπέρην δὲ κολοκύνθην ἢ τεῦτλα διδόναι ὀλίγα, καὶ οἶνον λευκὸν ὑδαρέα ἐπιπίνειν, ἔστ' ἂν γένηται [9]ἐνναταῖος· ἔπειτα σιτίῳ ὡς ἐλαχίστῳ διαχρήσθω, ἀριστιζόμενος κέγχρον· λουτρῷ δὲ, ἔστ' ἂν ἡ ὀδύνη [10]ἔχῃ καὶ ὁ πυρετὸς, μὴ χρήσθω· ἐπὴν δὲ παύσηται, λούσθω πολλῷ· ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ, ἢ βαλάνους προστιθέναι. Ἐπὴν [11]δὲ ἰσχύσῃ, προσθεὶς πρὸς τὰς ῥῖνας φάρμακον μαλθακὸν, τὴν κοιλίην κάτω κάθηρον· ἔπειτα γάλα ὄνου μετάπισον.

[1] Φονώδης πυρετὸς pro π. ὁ φ. λ. EIJK. – φονώδης pro π. ὁ φ. λ. Hθ. — [2] ἐπικρεμᾶσθαι vulg. – ἐπικρέμασθαι I. – ἐπικρέμμασθαι H. – ἐπικρεμάσθαι J. – δοκοῦσι G. — [3] καὶ om. Lind. — [4] ἐς om. EH. – εἰς IJK. – δυσθετεῖ EHIKL. – φλυαρέει (H, al. manu, erat prius η) IJK. — [5] καὶ om. EH. – ἀποφύγη J. – ὡς om. EFGHIJK, Ald. – ἐκφυγγάνει pro ὑγ. EHP'Q', Lind. – ὑπεκφυγγάνει θ. – ἐρρήξαντα vulg. – ἐρρύξαντας G, Ald. – ἐριύξαντας HI. – ἐρύξαντας E. – ἐρίξαντας J. – ἐρυίξαντας K. – ἐρείξαντα Foes in not., Lind., Mack. – ἐρίξαντα θ. – τὰς om. GHIJ, Ald. – κάγχρυς L. – κάχρους Lind. – κέγχρους FG. – κέγχρυς JK. – Gal. Gl. : κάχρυος ῥίζαν, τῆς λιβανωτίδος· ὅταν δὲ πληθυντικῶς εἴπῃ τὰς κάχρυς, τὰς πεφρυγμένας κριθὰς ἀκουστέον. — [6] σὺν om. Ald. – ἐπὶ pro σὺν Lind. – καὶ (τὰ φύλλα pro καὶ EFGH, I φύλα, JKθ) ἀποβρέχοντα vulg. – J'ai supprimé le καί. – καὶ (καὶ om. EFGIJKθ, Ald., Frob.) ἀπηθέαντα (ἀπηθέοντα EFGIJKθ, Ald., Frob., Mack) vulg. – μελίκρητα FG. –

libre, il prendra un lavement émollient. La maladie dure longtemps, et, quand elle doit quitter, elle ne quitte qu'à la longue; sinon, elle ne finit qu'avec le malade.

67. (*Fièvre.*) Fièvre dite meurtrière : il y a fièvre et frisson; les sourcils semblent un poids; la tête est douloureuse. Le malade vomit de la salive chaude et beaucoup de bile; parfois il va par le bas. Les yeux sont à l'étroit dans leurs régions. De la douleur se fait sentir au cou et aux aînes. Le malade est très-faible et délire. Il meurt le septième jour ou même plus tôt; s'il passe ce terme, il guérit d'ordinaire; la maladie est dangereuse. En ce cas on fera des applications réfrigérantes sur les viscères et sur la tête; on prendra de l'orge grillée, on la broiera avec sa balle, on fera digérer, on passera l'eau, on fera avec cela du mélicrat, et on le donnera coupé d'eau. On ne fera prendre au malade ni aliment ni potage pendant sept jours, à moins qu'on ne le juge faible; s'il est faible, on donnera un peu de décoction d'orge froide et légère, deux fois par jour, et on fera boire de l'eau par-dessus. Quand sept jours sont passés et que la fièvre tombe, on fera prendre en eclegme du panic. Le soir on donnera de la courge ou des bettes en petite quantité, et, par-dessus, du vin blanc coupé, jusqu'à ce qu'il atteigne neuf jours. Puis le malade usera de très-peu d'aliments, prenant à son déjeuner du panic. Tant qu'il y aura douleur et fièvre, il ne prendra pas de bain; mais après, il se lavera avec beaucoup d'eau chaude. Si le ventre n'est pas libre, on lui prescrira un lavement émollient ou des suppositoires. Quand le malade est fort, introduisez dans les narines un errhin émollient, et évacuez par le bas; puis faites prendre du lait d'ânesse.

ῥύφημα EGHIJK, Ald.— [7] ἄχρις om., restit. al. manu H.– τοι pro σοι Mack. – ἦν δ' ἀσθενὴς ᾖ EHK (Q'θ, δέ). – πτισσ. E.— [8] καὶ om. EFGHJK, Ald.– Post δὲ addunt αἱ GHIJK, Ald. – μεθῇ om. EP'. – εἰς J. – χολοκύντην EGHIJK, Ald., Frob., Lind. – ὀλίγα διδόναι θ.— [9] ἐνατ. HK. – διαχρήσθω EHP'Q'θ, Mack. – χρήσθω vulg.— [10] ἔχει J. – λούσθω μὴ πολλῷ θ. – δ' EH. – ὑποχωρέει vulg. – ὑποχωρέῃ EGHIJK, Ald., Frob.— [11] δ' EH. – ἰσχύῃ J.

68. [1]Πελίη νοῦσος· πυρετὸς [2]ἴσχει ξηρὸς καὶ φρὶξ ἄλλοτε καὶ ἄλλοτε, καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὰ σπλάγχνα ὀδύνη [3]ἔχει, καὶ ἐμέει χολὴν, καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται ἐνορᾷν, ἀλλὰ βαρύνεται· καὶ ἡ γαστὴρ σκληρὴ γίνεται, καὶ ἡ χροιὴ πελιδνὴ, καὶ τὰ χείλεα καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιδνὰ, καὶ ἐξορᾷ ὡς ἀγχόμενος· ἐνίοτε καὶ τὴν χροιὴν μεταβάλλει, καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται. Τοῦτον φάρμακον πιπίσκειν καὶ κάτω καὶ ἄνω, [4]καὶ ὑποκλύζειν, καὶ ἀπὸ τῆς κεφαλῆς ἀποκαθαίρειν, καὶ θερμῷ ὡς ἥκιστα λούειν, [5]ἀλλὰ ἐπὴν λούηται, εἱληθερεῖν, καὶ ὀῤῥὸν τὴν ὥρην καὶ γάλα ὄνου πιπίσκειν, καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι καὶ ψυχροῖσιν, ἀπεχόμενον τῶν δριμέων καὶ [6]τῶν ἁλμυρῶν· λιπαρωτέροισι δὲ καὶ γλυκυτέροισι καὶ πιοτέροισι χρήσθω. Ἡ [7]δὲ νοῦσος ὡς τὰ πολλὰ συναποθνήσκει τῷ κάμνοντι.

69. [8]Νοῦσος ἐρυγματώδης· ὀδύνη λάζεται ὀξέη, καὶ πονέει ἰσχυρῶς, καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν, καὶ βοᾷ, καὶ ἐρεύγεται θαμινὰ, καὶ [9]ἐπὴν ἀπερύγῃ, δοκέει ῥάων εἶναι· πολλάκις δὲ καὶ χολὴν ἀπεμέει ὀλίγην ὅσον βρόχθον· καὶ ὀδύνη λαμβάνει ἀπὸ τῶν σπλάγχνων ἐς τὴν νειαίρην γαστέρα καὶ τὴν λαπάρην, καὶ ἐπὴν τοῦτο γένηται, ῥάων δοκέει εἶναι, καὶ ἡ γαστὴρ φυσᾶται καὶ [10]σκληρὴ γίνεται καὶ ψοφέει, καὶ ἡ φῦσα οὐ διαχωρέει οὐδὲ ὁ ἀπόπατος. Τοῦτον ἢν ὀδύνη ἔχῃ, λούειν πολλῷ θερμῷ, καὶ χλιάσματα προστιθέναι· ὅταν [11]δὲ ἐν τῇ γαστρὶ ἡ ὀδύνη ᾖ καὶ ἡ φῦσα, ὑποκλύζειν, καὶ τῆς λινοζώστιος ἑψῶν τὸν χυλὸν ξυμμίσγειν τῆς πτισάνης τῷ χυλῷ, καὶ ἐπιπίνειν οἶνον

[1] Π. ν. om. H. – νοῦσος om. θ. – Comparez le passage parallèle d'Euryphon dans les Sentences cnidiennes, Gal., t. XVII a, p. 888 : Πελιὰς πυρετὸς ἴσχει καὶ βρεγμὸς ἄλλοτε καὶ ἄλλοτε καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὰ σπλάγχνα ὀδύνη ἴσχει, καὶ ἐμέει χολὴν, καὶ ὅταν ὀδύνη ἔχῃ, ἐνορᾷν οὐ δύναται, ὅτι βαρύνεται, καὶ ἡ γαστὴρ ξηρὴ γίνεται καὶ ὁ χρὼς πέλιος ἅπας, καὶ τὰ χείλεα οἷά περ μόρα τρώξαντι καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πέλια, καὶ ἐξορᾷ ὥσπερ ἀπαγχόμενος, ὁτὲ δὲ ἧσσον τοῦτο πάσχει καὶ μεταβάλλει πολλάκις. — [2] M. Ermerins, Hipp. liber de Diæta in acutis, Lugd. Bat., 1841, p. 100, propose de lire ἴσχει καὶ βρυγμὸς ἄλλοτε καὶ ἄλλοτε. – ὀδύνην GIJ K. — [3] ἔχῃ J. – καὶ ἐμ. χολὴν om. θ. – ἀνορᾷν vulg. – ἐνορᾶν FGLθ, Vaticani Codd., Ald., Gal. in cit. ib. – ξηρὰ pro σκληρὴ Gal. ib. – χρόα Gal. ib. – χρόαν Gal. ib. — [4] καὶ om. EP'Q'θ, Mack. — [5] ἀλλὰ (ἀλλ' θ, Mack) καὶ (καὶ om. EHθ, Mack) ἐπὴν vulg. – εἱληθερεῖν vulg. – ἑλιθερεῖν H. – εἱλιθερεῖν EK. – εἱλειθερεῖν θ, Mack. – ὀρὸν, al. manu ὀῤῥὸν H. – ὥραν vulg. – ὥρην EHIK, Mack. — [6] τῶν om. GIJK. – δὲ καὶ γλ. om. J. – καὶ π. om. K. – πιωτέροισι G IJ, Ald., Frob. — [7] δὲ om. EH. – τῷ κ. om. EHθ. — [8] ν. om. EHIJθ. – ἐρ. ν.

68. (*Fièvre.*) Maladie livide : il y a une fièvre sèche et, de temps à autre, des frissons. La tête est douloureuse. Le malade souffre dans les viscères; il vomit de la bile, et, quand la douleur existe, il ne peut voir, mais il est appesanti. Le ventre se resserre. La peau devient livide, ainsi que les lèvres et le blanc de l'œil, et il a l'apparence de la strangulation. Quelquefois la couleur change, et de livide elle devient jaunâtre. A ce malade on administrera un médicament qui évacue par le bas et par le haut; on fera prendre des lavements; on purgera la tête. Il se lavera très-peu avec l'eau chaude; mais, après s'être lavé, il s'échauffera au soleil et boira, dans la saison, du petit lait et du lait d'ânesse. Il usera d'aliments très-émollients et froids, s'abstenant des choses âcres et salées; ses aliments seront assez huileux, doux et gras. La maladie, d'ordinaire, ne finit qu'avec le malade.

69. (*Maladie flatulente.*) Maladie ructueuse : une douleur aiguë se fait sentir, le malade souffre beaucoup; il a de la jactitation, il crie; il a de fréquentes éructations, et, après les éructations, il se sent plus à l'aise. Souvent aussi il vomit une gorgée de bile. La douleur, partant des viscères, gagne le bas-ventre et les flancs; à ce point, il se sent mieux; le ventre se météorise, devient dur, fait du bruit; ni gaz ni selles ne sont rendus. Ce malade, quand il y a douleur, sera lavé avec beaucoup d'eau chaude; on lui fera des applications chaudes. Mais quand la douleur est dans le ventre ainsi que le météorisme, il prendra un lavement; on fera cuire de la mercuriale, on en mêlera la décoction à la décoction d'orge, et, pardessus, il boira du vin doux coupé d'eau. Il ne prendra pas

K. – ἐρρυγματώδης G. – Gal. Gl. : ἐρυγματώδης, ἡ ἐρυγμῶν ἀπεργαστικὴ νόσος, ἡ πνευματοῦσα. – ὀξείη vulg. – ὀξέη EHIJK, Ald., Lind. – ἐρρεύγεται G. — [9] ἐπὴν θ. – ἢν vulg. – ἐὰν EH. – ἂν IJK. – ἀπερυγῇ vulg. – ἀπερρυγῇ Gθ, Ald., Frob. – ἀπερυγεῖ L. – βρόγχον H. – νειέρην vulg. – νεαίρην Mack. – νειαρὴν Lind. – νείαιραν, al. manu νειαίρην H. – νειαίρην EK. – νειερὴν I. — [10] σκληρὰ G. – σκηρὴ (sic) E. – ὁ om. (H, restit. al. manu) J. – ἐπὴν ἡ ὀδύνη θ. — [11] δ' EH. – ἀποκλύζειν, al. manu ὑ H. – λινοζώστεος JK. – συμμ. EHIJK. – πτισσ. E.

γλυκὺν ὑδαρέα· σιτίον δὲ μὴ προσφέρειν ἔστ' ἂν ἡ ὀδύνη χαλάσῃ· πινέτω δὲ ἓξ ἡμέρας, ἐκ νυκτὸς στέμφυλα βρέχων γλυκέα, τὸ ὕδωρ τὸ ἀπὸ τούτων· ἢν δὲ μὴ ἔχῃ στέμφυλα, μέλι καὶ ὄξος ἑφθόν· ἐπὴν δὲ τῆς ὀδύνης [1] ἀποκινήσῃ, φαρμάκῳ κάτω τὴν κοιλίην καθαίρειν· σιτίοισι δὲ χρήσθω μαλθακοῖσι καὶ [2] ὑποχωρητικοῖσι, καὶ θαλασσίοισι μᾶλλον ἢ κρέασι, κρέασι δὲ ὀρνιθείοισι καὶ μηλείοισιν ἑφθοῖσι, καὶ τεῦτλα καὶ [3] κολοκύνθην, τῶν δ' ἄλλων ἀπέχεσθαι. Ἡ δὲ νοῦσος ὅταν μὲν νέον λάβῃ, χρόνῳ ἐξέρχεται· ἢν δὲ πρεσβύτερον, συναποθνήσκει.

70. [4] Νοῦσος φλεγματώδης· λάζεται μὲν [5] καὶ ἄνδρα, μᾶλλον δὲ γυναῖκα· καὶ παχείη μέν ἐστι καὶ εὔχρως, ὁδοιπορέουσα δὲ ἀσθενέει, μάλιστα δὲ ἐπὴν πρὸς αἶπος ἴῃ· καὶ πυρετὸς λεπτὸς λαμβάνει, ἐνίοτε καὶ πνίγμα· καὶ [6] ἀπεμέει μὲν, ὅταν ἄσιτος ᾖ, χολὴν [7] καὶ σίαλα πολλὰ, πολλάκις δὲ καὶ ὅταν φάγῃ, τοῦ δὲ σιτίου οὐδέν· [8] καὶ ὅταν πονήσῃ, ὀδυνᾶται ἄλλοτε ἄλλῃ τὸ στῆθος καὶ τὸ μετάφρενον, καὶ καταπίμπλαται πομφῶν ὡς ὑπὸ κνίδης. Τοῦτον φάρμακον πιπίσκειν, καὶ [9] ὀῤῥὸν καὶ γάλα ὄνου πινέτω· ἢν δὲ ὀῤῥοποτέῃ, προπῖσαι φάρμακον κάτω ὡς πλείστας ἡμέρας· καὶ ἢν ἀπολήγῃ τῆς [10] ὀῤῥοποτίης, μεταπιέτω γάλα ὄνειον· ἐπὴν δὲ πίνῃ, σιτίων μὲν ἀπεχέσθω· οἶνον δὲ πινέτω ὡς ἥδιστον, [11] ἐπὴν παύσηται καθαιρόμενος· ἐπὴν [12] δὲ ἀπολήξῃ τῆς πόσιος, ἀριστιζέσθω μὲν κέγχρον, ἐς ἑσπέρην δὲ σιτίῳ ὡς μαλθακωτάτῳ χρήσθω καὶ ἐλαχίστῳ· ἀπεχέσθω δὲ πιόνων καὶ γλυκέων καὶ ἐλαιηρῶν· καὶ ἄλλοτε καὶ ἄλλοτε, μάλιστα τοῦ

[1] Ἀποκενώσηται Foes in not., Mack. – D'après Mack, ἀποκενώσηται est la leçon de θ ; mais je crains bien qu'il ne se trompe, ayant pris la conjecture de Foes pour la leçon du ms. de Vienne ; il lui arrive plus d'une fois de faire de pareilles confusions. Il serait bien étonnant que Foes eût ainsi deviné la leçon de θ. Pour moi, je pense qu'il n'y a rien à changer. On trouve ἀποκινέω avec le sens neutre ; voy. le Suppl. au Dict. de Schneider. — [2] διαχωρητικοῖσι θ. — [3] κολοκύντην EGHIJK, Ald., Frob., Lind. — [4] ν. om. EHIJKθ. — [5] τὸν pro καὶ E. – καὶ om. K. – προσέπος GIJ. – ἔπος vulg. – ἔπος H. – αἶπος Eθ, Mack. – ἧπος L, Lind. – πνῖγμα H. — [6] ἀπεμέειν θ. – μὲν om. HIJKθ. – ὅταν om. J. – Post χολὴν addit πολλὴν θ. — [7] καὶ om., et σίαλα πολλὰ ponit post φάγῃ Lind. — [8] καὶ om. FGI. – ὀδυνᾶται καὶ (καὶ om. EHKQ', Mack) ἄλλοτε (ἄλλοτ' EHK) vulg. – πολφῶν EFGHIJKLθ, Ald., Lind. – Gal. Gl. : πομφοὶ, ἐπαναστάσεις τοῦ δέρματος ὀχθώδεις τε ἅμα καὶ πλαδαραὶ καὶ ἐνερευθεῖς. Cette même glose se trouve à la marge de E, sauf qu'il y a πολφοί. Le Gl. d'Érot. a, p. 314 : πολφοὶ, βολβοὶ, ὡς Μεταγένης φησὶ, ῥαφανίδος, ἀμύλου, λεκύθων, καρύων, ζωμοῦ, πολφῶν, οἴνου,

d'aliment jusqu'à ce que la douleur se soit relâchée. Il boira pendant six jours l'eau de marc de raisin doux ; ce marc aura trempé la nuit dans l'eau ; si on n'a pas de marc, il prendra du miel et du vinaigre cuits. La douleur ayant été mise de côté, il prendra un médicament qui évacue par le bas ; il usera d'aliments émollients et relâchants, poissons de mer plutôt que viandes, et, pour viande, volaille et mouton bouillis, bettes, courge ; il s'abstiendra du reste. La maladie, quand elle prend jeune, s'en va avec le temps ; si elle prend un vieillard, elle ne finit qu'avec lui.

70. (*Maladie phlegmatique.*) Maladie phlegmatique : elle attaque les hommes, mais de préférence les femmes. La femme a de l'embonpoint et bon teint ; mais, marchant, elle se sent faible, surtout si elle monte une côte. Il y a une fièvre légère, parfois de l'étouffement. De la bile et une pituite abondante sont rendues à jeun, et, souvent aussi, après le repas ; mais aucune parcelle d'aliments n'est revomie. Dans la fatigue, de la douleur est ressentie tantôt dans un point tantôt dans un autre de la poitrine et du dos. Le corps se remplit de papules comme par l'ortie. On fera boire un médicament. évacuant On prescrira le petit lait et le lait d'ânesse. En donnant le petit lait, on administrera préalablement pendant le plus de jours qu'on pourra un évacuant par le bas. Quand on cessera le petit lait, on donnera le lait d'ânesse ; après le lait, on défendra les aliments, mais on prescrira un vin très-doux, quand la purgation est finie. Le lait d'ânesse étant terminé, on recommandera pour déjeuner le panic, pour le soir des aliments très-émollients et en très-petite quantité. On défendra les aliments gras, doux, huileux. De temps en temps, surtout en

κολοκύνθης· οἱ δὲ βρῶμά τι πολτῶδες εἶναι. Dans le fait, nos mss. laissent sans appui la leçon πομφῶν. — [9] ὀρὸν, al. manu ὀῤῥὸν H. – ὀῤῥοπωτέη GI. – ὀροπ. al. manu ὀῤῥ H. – ὀῤῥοποτέης J. – προπίσαι vulg. – προπῖσαι H. – πρ.... ὀῤῥοποτίης om. J. — [10] ὀῤῥοπωτέης G. – ὀροπ., al. manu ὀῤῥ H. – ὀῤῥωποτίης I. – ὀῤῥοποσίης Lind. — [11] ἔστ' ἂν K'. — [12] δὲ om., restit. al. manu H. – ἀριστιζέτω vulg. – ἀριζέσθω (sic) H. – ἀριστιζέσθω EKθ. – ἐς θ. – ἐς om. vulg.

χειμῶνος, ἀπεμεέτω τῷ φακίῳ, λάχανα προτρώγων· καὶ θερμῷ ὡς ἥκιστα λούσθω, [1]ἀλλὰ εἰληθερεέτω. Ἡ δὲ νοῦσος συναποθνήσκει.

71. [2]Φλέγμα λευκόν· οἰδέει ἅπαν τὸ σῶμα λευκῷ οἰδήματι, καὶ ἡ γαστὴρ παχέη ψαυομένη, καὶ οἱ πόδες καὶ οἱ μηροὶ οἰδέουσι καὶ αἱ κνῆμαι καὶ ἡ ὄσχη, καὶ ἀναπνεῖ ἀθρόον, καὶ τὸ πρόσωπον ἐνερευθὲς, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα ἴσχει, καὶ ἐπὴν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει· οὗτος τῆς αὐτῆς ἡμέρης [3]τοτὲ μὲν ῥάων γίνεται, τοτὲ δὲ κάκιον ἴσχει. Τούτῳ ἢν μὲν ἡ γαστὴρ ταραχθῇ αὐτομάτη ἀρχομένης τῆς νούσου, ἐγγυτάτω ὑγιὴς γίνεται· ἢν δὲ μὴ ταραχθῇ, φάρμακον διδόναι κάτω, ὑφ' οὗ ὕδωρ καθαρεῖται, καὶ θερμῷ μὴ λούειν, καὶ πρὸς τὴν αἰθρίην κομίζειν, καὶ τὴν ὄσχην [4]ἀποτύπτειν, ἐπὴν πίμπρηται· σιτίοισι δὲ χρήσθω ἄρτῳ καθαρῷ ψυχρῷ καὶ τεύτλῳ καὶ σκορπίοισιν ἑφθοῖσι [5]καὶ σελάχεσι καὶ κρέασι τετριμμένοισι μηλείοισιν ἑφθοῖσι· τῷ δὲ ζωμῷ ὡς ἐλαχίστῳ, καὶ ψυχρὰ πάντα, καὶ [6]μὴ γλυκέα μηδὲ λιπαρὰ, ἀλλὰ τετριμμένα καὶ ὀξέα καὶ δριμέα, πλὴν σκορόδου ἢ κρομύου ἢ πράσου· ὀρίγανον δὲ καὶ θύμβρην πολλὴν ἐσθίειν, καὶ οἶνον ἐπιπίνειν οἰνώδεα, καὶ ὁδοιπορέειν πρὸ τοῦ σιτίου. Ἢν δ' ὑπὸ [7]τῶν φαρμάκων οἰδίσκηται, κλύζειν, καὶ τῷ σιτίῳ πιέζειν καὶ περιπάτοισι καὶ ἀλουσίῃ· φάρμακα δὲ ὡς ἐλάχιστα δοῦναι, ἄνω δὲ μηδ' ἔμπροσθεν ἢ τὰ οἰδήματα κατέλθῃ ἐς τὸ κάτω· ἢν δὲ ἰσχνοῦ [8]ἤδη ἐόντος πνίγμα ἐν τοῖσι στήθεσιν ἐγγίνηται, ἐλλέβορον δὸς πιέειν, καὶ τὴν κεφαλὴν καθῆραι, κἄπειτα κάτω πῖσαι. Ἡ δὲ νοῦσος μάλιστα διακρίνει ἐν οὐδενί.

72. Φροντὶς [9]νοῦσος χαλεπή· δοκέει ἐν τοῖσι σπλάγχνοισιν εἶναι

[1] Ἀλλὰ καὶ (καὶ om. Hθ) vulg. – εἰληθερεέτω vulg. – εἰληθερέτω GIJ. – εἰλιθερείτω EH. – εἰλιθερείτω K. – ἡ δὲ ν. συν. om. L. — [2] φλ. λ. om. H. — [3] ὁτὲ (bis) EHKQ', Lind. – τὸ μὲν, τὸ δὲ pro τοτὲ μὲν, τοτὲ δὲ FGIJ. – ῥᾶον H. – τούτῳ FIJKL, Lind., Mack. – τούτων vulg. – δ' ἢν Mack. – καθαιρεῖται vulg. – καθαρεῖται EHI. — [4] ἀποτέμνειν K'. – πίμπληται K'. – πίμπρηται est dans le sens d'*être tuméfié*. – χρῆσθαι HJK. – τεύτλοις LQ', Lind., Mack. – τεύτλοισι EHKθ. – τεῦτλα IJ. – καὶ ἰχθύσι (ἰχθ. om. EHKθ, Lind.) σκορπίοισιν vulg. — [5] καὶ.... ἑφθοῖσι θ. – καὶ.... ἑφθοῖσι om. vulg. — [6] μὴ om. θ. – ἀλυχέα (sic) GIJ. – ἁλικέα L. – τετρυμμένα EH. – κρομμύου E, Lind., Mack. – θρύμβην G, Ald. – θύμβραν EHK. — [7] τοῦ φαρμάκου vulg. – τῶν φαρμάκων HKQ'θ, Lind., Mack. – οἰδίσκεται vulg. – οἰδίσκηται EIJK. – ἀλουσίῃσι θ. – κατέλθῃ EHK. – κατέλθοι vulg. — [8] ἤδη om. EK. – πνῖγμα H. – ἐγγίνηται E. – ἐγγίνεται vulg. – ἐλλ. IK, Ald., Lind., Mack. – κἄπιτα J. – πῖσαι E. –

hiver, on fera vomir par la décoction de lentilles, en faisant manger d'abord des herbes. Très-peu d'eau chaude, mais l'insolation. La maladie ne finit qu'avec la vie.

71. (*Leucophlegmasie.*) Phlegme blanc : tout le corps est pris d'un œdème blanc. Le ventre, au toucher, est épais. Les pieds, les cuisses, les jambes et les bourses se tuméfient. La respiration est fréquente. Le visage est rouge, la bouche sèche, la soif intense. Après le repas, la respiration se précipite. Un tel malade, dans la même journée, est tantôt mieux, tantôt plus mal. En ce cas, si le ventre se dérange spontanément au début de la maladie, il est très-près de guérir (Aph. VII, 29; Coa. 472). S'il n'y a point de dérangement, on donnera un purgatif qui évacue l'eau. On ne lavera pas à l'eau chaude. On exposera le malade à l'air. On fera des mouchetures aux bourses, quand elles sont tuméfiées. Pour aliments, le malade usera de pain pur et froid, de bettes, de scorpènes bouillies, de poissons mous et de viandes de mouton hachées bouillies; très-peu de bouillon; tout froid; rien de doux, rien d'huileux; tout haché, acide et âcre, excepté l'ail, l'oignon ou le poireau; il mangera beaucoup d'origan et dé sarriette; par-dessus, il boira du vin généreux, et il marchera avant le repas. Si la tuméfaction augmente par les évacuants, on administrera des lavements; on le desséchera par la diète, par les marches, par l'abstention des bains. On donnera très-peu d'évacuants, et aucun évacuant par le haut avant que l'œdème ne descende en bas. Si, le dégonflement étant déjà opéré, il survient de l'oppression dans la poitrine, donnez à boire de l'hellébore, et purgez la tête; puis faites boire un remède qui évacue par le bas. Cette maladie ne se juge presque chez personne.

72. (*Hypocondrie.*) Souci, maladie difficile : le malade semble avoir dans les viscères comme une épine qui le pique; l'anxiété le tourmente; il fuit la lumière et les hommes, il

πίσαι vulg. — [9] ν. χ. om. (H, restit. al. manu) θ. – κακὴ E. – οἷον EH Kθ, Mack. – οἵη (sic) J. – οἵη vulg. – ἄκανθες (sic) FGJ. – ἄκανθαν K. – ἄσση GIJK.

οἷον ἄκανθα καὶ κεντέειν, καὶ ἄση αὐτὸν λάζεται, [1]καὶ τὸ φῶς φεύγει καὶ τοὺς ἀνθρώπους, καὶ τὸ σκότος φιλέει, [2]καὶ φόβος λάζυται, καὶ [3]αἱ φρένες οἰδέουσιν ἐκτὸς, καὶ ἀλγέει ψαυόμενος, καὶ φοβεῖται, καὶ δείματα ὁρᾷ καὶ ὀνείρατα φοβερὰ καὶ τοὺς τεθνηκότας ἐνίοτε· καὶ ἡ νοῦσος [4]ἐνίοτε τοὺς πλείστους λαμβάνει τοῦ ἦρος. Τοῦτον πιπίσκειν ἐλλέβορον, καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ μετὰ τὴν κάθαρσιν τῆς κεφαλῆς [5]κάτω πῖσαι φάρμακον, καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου· σιτίοισι δὲ χρῆσθαι ὡς ἐλαχίστοισιν, ἢν μὴ ἀσθενὴς ᾖ, [6]καὶ ψυχροῖσι [7]καὶ διαχωρητικοῖσι [8]καὶ μὴ δριμέσι μηδ' ἁλμυροῖσι μηδὲ λιπαροῖσι μηδὲ γλυκέσι· μηδὲ θερμῷ λούσθω, μηδὲ οἶνον πινέτω, ἀλλὰ μάλιστα μὲν ὕδωρ· εἰ δὲ μὴ, οἶνον ὑδαρέα· μηδὲ γυμναζέσθω, μηδὲ περιπατείτω. Ταῦτα ποιέων ἀπαλλάσσεται τῆς νούσου χρόνῳ· ἢν δὲ μὴ ἐπιμελήσῃ, ξυναποθνήσκει.

73. Μέλαινα [9]νοῦσος· [10]μέλαν ἐμέει οἷον τρύγα, ὁτὲ μὲν αἱματῶδες, ὁτὲ δὲ οἷον οἶνον τὸν δεύτερον, ὁτὲ δὲ οἷον πολύπου [11]θολὸν, ὁτὲ δὲ δριμὺ οἷον ὄξος, ὁτὲ δὲ σίαλον καὶ λάπην, ὁτὲ δὲ χολὴν χλωρήν· καὶ [12]ὅταν μὲν τὸ μέλαν τὸ αἱματῶδες ἐμέῃ, δοκέει οἷον φόνου ὄζειν, καὶ ἡ φάρυγξ καὶ τὸ στόμα καίεται ὑπὸ τοῦ ἐμέσματος, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ τὸ ἔμεσμα τὴν γῆν αἴρει, καὶ ἐπὴν ἀπεμέσῃ, δοκέει ῥᾴων εἶναι ἐπ' ὀλίγον· καὶ οὐχ [13]ἀνέχεται οὔτ' ἄσιτος ὢν οὔτε πλέον βεβρωκὼς, ἀλλ' [14]ὁκόταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει, καὶ τὰ σίαλα ὀξέα· ὅταν δέ τι φάγῃ, βάρος ἐπὶ τοῖσι σπλάγχνοισι, καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον δοκέει οἷον ῥαφίοισι κεντεῖσθαι, καὶ τὰ πλευρὰ ἔχει [15]ὀδύνη, καὶ πυρετὸς βληχρὸς, καὶ τὴν κεφαλὴν ἀλγέει,

[1] Καὶ.... φιλέει om., restit. al. manu sine καὶ τὸ ante φῶς, sine τοὺς, sine τὸ ante σκότος E. — [2] κ. φ. λ. om. EP'. - λάζυται, al. manu ε H. - λάζεται vulg. — [3] οἱ E. - δήματα J. — [4] Je pense que cet ἐνίοτε doit être supprimé et qu'il a été répété par erreur à cause de l'ἐνίοτε qui précède immédiatement. Comme il est dans tous nos mss., et qu'il influe sur le sens, je n'ai pas osé le retrancher. - λαμβάνει τοὺς πλείστους E. - ἐλλ. HIJK, Ald., Lind., Mack. — [5] καταπίσαι J. - πίσαι vulg. - πῖσαι H. — [6] καὶ om. θ. — [7] καὶ om. θ. — [8] καὶ om. G. - θερμολούσθω vulg. - λούσθω θερμῷ EHKQ'. - θερμῷ λούσθω θ, Mack. - θερμολουτεέτω Lind. - Lobeck, Phryn. Ecl., p. 573, approuve θερμολουτεέτω; mais cette leçon est une conjecture, et il n'y a aucune raison de la préférer à une bonne leçon donnée par des mss. - περιπατεέτω Lind. — [9] ν. om. (H, restit. al. manu) θ. - Gal. Gl. : μέλαινα, λέγεταί τε καὶ ἡ νόσος οὕτως ἀπὸ μελαίνης χολῆς συνισταμένη. — [10] μέλαν, al. manu μέλαιναν H. - μέλαιναν vulg. — [11] Galien

aime les ténèbres ; il est en proie à la crainte ; la cloison phrénique fait saillie à l'extérieur ; on lui fait mal quand on le touche ; il a peur ; il a des visions effrayantes, des songes affreux, et parfois il voit les morts. La maladie attaque d'ordinaire au printemps. A ce malade on fera boire l'hellébore, on purgera la tête ; et, après la purgation de la tête, on donnera un médicament qui évacue par le bas. Ensuite on prescrira le lait d'ânesse. Le malade usera de très-peu d'aliments, s'il n'est pas faible ; ces aliments seront froids, relâchants, rien d'âcre, rien de salé, rien d'huileux, rien de doux. Il ne se lavera pas à l'eau chaude ; il ne boira pas de vin ; il s'en tiendra à l'eau ; sinon, son vin sera coupé. Point de gymnastique, point de promenades. Par ces moyens, la maladie se guérit avec le temps ; mais, si elle n'est pas soignée, elle finit avec la vie.

73. (*Maladie noire ou melæna.*) Maladie noire : le malade vomit des matières noires comme de la lie, tantôt sanguinolentes, tantôt semblables à de la piquette, tantôt à l'encre de la sèche, tantôt âcres comme du vinaigre, tantôt salive et pituite, tantôt bile jaune; et, quand c'est le noir sanguinolent qu'il vomit, les matières exhalent une odeur de sang, la gorge et la bouche sont brûlées par le vomissement, les dents agacées, et ces matières tombant à terre y font effervescence. Après le vomissement, il se sent mieux pour un peu de temps. Être à jeun ou avoir bien mangé lui est également insupportable ; est-il à jeun? les viscères gargouillent, et la salive est acide ; a-t-il mangé ? il éprouve de la pesanteur dans les viscères, il lui semble qu'on lui perce avec des aiguilles la poitrine et le dos ; il y a dou-

paraît avoir lu ici ὅλεν ; car on trouve dans son Gl. : ὅλον, τὸ μέλαν τῆς σηπίας. — [12] ὅτε J. - Post μέλαν addunt καὶ EHJKL, Lind. - ἐμέει HJK. - φάρυξ Gl. - αἴρει Mack. — [13] ἀνέχεται θ, Lind., Mack. - ἄχθεται vulg. - ὧν om. EHKθ. - οὔθ' ὁπόταν (ὁκόταν P'θ) πλέον βεβρώκη (E, al. manu βεβρωκὼς ᾖ) (H, al. manu βεβρωκὼς) (K, βεβρωκώς) (P'Q', βεβρωκὼς ἔη) θ. — [14] ὀπ. EGHIJK, Ald. - γραφείοισι vulg. - ῥαφείοισι FG. - γραφίοισι θ. - κεντῆσθαι vulg. - κεντεῖσθαι HK, Mack. - κεντᾶσθαι E. — [15] ὀδύνην K. - ὀρὸν, al. manu ὀρρὸν H.

καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ, καὶ τὰ σκέλεα βαρέα, καὶ ἡ χροιὴ μέλαινα, καὶ μινύθει. Τοῦτον φάρμακον πιπίσκειν θαμὰ καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην, καὶ σιτίων ἀπέχειν γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων, καὶ χρῆσθαι ὡς ψυχροτάτοισι καὶ ὑποχωρητικωτάτοισι, καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ μετὰ τὰς φαρμακοποσίας τὰς ἄνω ἀπὸ τῶν χειρῶν τοῦ αἵματος ἀφιέναι, ἢν μὴ [1] ἀσθενὴς ᾖ· ἢν δὲ ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύζειν μαλθακῷ κλύσματι, καὶ θωρηξίων ἀπέχεσθαι καὶ λαγνείης· ἢν δὲ [2] λαγνεύῃ, νῆστις πυριᾶσθαι· καὶ τοῦ ἡλίου ἀπέχεσθαι, μηδὲ γυμνάζεσθαι πολλὰ, μηδὲ περιπατέειν, μηδὲ θερμολουτέειν, μηδὲ δριμέα ἐσθίειν μηδὲ ἁλυκά. Ταῦτα [3] ποιέειν, [4] καὶ ἅμα τῇ ἡλικίῃ ἀποφεύγει, καὶ ἡ νοῦσος καταγηράσκει σὺν τῷ σώματι· ἢν δὲ μὴ μελεδανθῇ, συναποθνήσκει.

74. Ἄλλη μέλαινα [5] νοῦσος· [6] ὑπόπυῤῥος καὶ ἰσχνὸς καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίνεται, καὶ λεπτόδερμος καὶ ἀσθενὴς τελέθει· ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, ἡ νοῦσος μᾶλλον πονέει· καὶ ἐμέει πᾶσαν ὥρην οἷον σταλαγμὸν ὀλίγον κατὰ δύο βρόχθους, καὶ [7] τὸ σιτίον θαμινὰ, καὶ σὺν τῷ σιτίῳ χολὴν καὶ φλέγμα, καὶ μετὰ τὴν ἔμεσιν ἀλγέει τὸ σῶμα πᾶν, ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι· καὶ φρῖκαι λεπταὶ καὶ πυρετὸς ἴσχει, καὶ πρὸς τὰ γλυκέα καὶ ἐλαιώδεα μάλιστα ἐμέει. Τοῦτον καθαίρειν χρὴ φαρμάκοισι [8] καὶ κάτω καὶ ἄνω, καὶ μεταπιπίσκειν γάλα ὄνου, καὶ σιτίοισι χρῆσθαι ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσιν, ἰχθύσιν ἀκταίοισι καὶ σελάχεσι καὶ τεύτλοισι καὶ κολοκύντῃσι καὶ κρέασι τετριμμένοισιν, οἶνον δὲ πίνειν λευκὸν οἰνώδεα ὑδαρέστερον· ταλαιπωρίῃ δὲ [9] ἐν περιπάτοισι χρῆσθαι, καὶ μὴ θερμολουτέειν, καὶ τοῦ ἡλίου ἀπέχεσθαι. Ταῦτα ποιέειν, ἡ δὲ νοῦσος θανατώδης μὲν οὔ, ξυγκαταγηράσκει δέ.

[1] Ἀσθενήσῃ θ. – δ' EHK. – κοιλία, al. manu η E. – ὑποχωρίη (sic) E. – θωρίξιων Lind. – θοριξίων EI. – καθοριξίων pro καὶ θορ. J. — [2] λαγνεύει J. – πουλλὰ G, Ald., Frob. – περιπατεῖν GIJ. – ἁλικὰ K. — [3] ποιέων θ. — [4] καὶ om. (H, restit. al. manu) θ. – νοῦσος εἰ (εἰ om. Ald.) καὶ (εἰ καὶ om., H restit. al. manu, θ) καταγηράσκει vulg. – ἐν pro σὺν θ. – ἢν δὲ (addit μὴ H) μελανθῇ vulg. – Il faut prendre μὴ donné par H, et lire μελεδανθῇ au lieu de μελανθῇ, faute dont il y a des exemples. — [5] v. om. (H, restit. al. manu) θ. — [6] ὑπόπυρρος θ, Foes in not., Mack. – ὑπόπυρος vulg. – βρόγχθους I. — [7] τὸ om. J. – ἐλαιώδεα EHIJK. – ἐλαιώδη vulg. — [8] καὶ om. θ. – μεταπίσκειν (sic) Ald. – καὶ (καὶ om. EFGHIJKθ, Ald.) ἰχθύσιν vulg. – ἀκταίοις θ. – κολοκύντοισι GIJ. – κολοκύντῃ, al. manu κολοκύντοισι H. – τετρυμμένοισι

leur aux côtés, fièvre sourde, céphalalgie; les yeux ne voient pas; les jambes sont pesantes; la couleur est noire; et le malade maigrit. Dans ce cas, il prendra souvent un évacuant, du petit-lait et du lait dans la saison, il s'abstiendra des aliments doux, huileux et gras; il les prendra très-froids et très-relâchants. On purgera la tête; après les évacuations par le haut, on tirera du sang des bras, s'il n'est pas faible. Le ventre n'est-il pas libre? on prescrira un clystère émollient. Le malade s'abstiendra d'excès de vin et du coït. S'il use du coït, il prendra à jeûn un bain de vapeur. Il se gardera du soleil, fera peu de gymnastique, ne se promènera pas, ne prendra pas de bains chauds et ne mangera rien d'âcre et de salé. Par ces moyens, et avec l'âge, le malade se sauve, et la maladie vieillit avec le corps; mais, si elle n'est pas soignée, elle abrége la vie.

74. (*Autre maladie noire.*) Autre maladie noire : le malade prend une teinte rougeâtre, il maigrit; ses yeux sont jaunâtres; la peau devient mince, et il s'affaiblit. Plus le temps passe, plus la maladie s'aggrave. Il vomit à tout moment quelques gouttes en deux gorgées; il vomit les aliments souvent, et, avec les aliments, de la bile et du phlegme. Après le vomissement il souffre dans tout le corps, et parfois même avant de vomir. Il a des frissons légers et de la fièvre. Ce qui le fait surtout vomir, ce sont les substances douces et huileuses. En ce cas, on évacuera par le bas et par le haut; après on prescrira le lait d'ânesse. Il usera d'aliments très-émollients et froids, poissons de rivage, poissons cartilagineux, bettes, courges, viandes hachées. Il boira du vin blanc généreux, assez coupé. Son genre d'exercice sera la promenade. Il ne prendra pas de bain chaud et se gardera du soleil. Voilà ce qu'il faut faire. La maladie n'est pas mortelle, mais elle suit jusque dans la vieillesse.

E (H, al. manu ι), Frob. – τετριμένοισι J. — ἓν om., restit. al. manu H. – σὺ (E, al. manu οὔ) IJK, Ald. – ξυγκαταγηράσκοι, al. manu ει H.

75. Σφακελώδης· [1]τὰ ἄλλα μὲν τὰ αὐτὰ πάσχει, ἐμέει δὲ θρόμβους πεπηγότας χολῆς καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. Δρᾷν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης [2]ἐλέχθη, καὶ ὑποκλύζειν.

[1] Τὰ μὲν ἄλλα FHILθ. – ταῦτα θ. — [2] ἐλέχθη om. (H, restit. al. manu) θ.

75. (*Autre maladie noire; remarquez ici* sphacélique *employé dans un sens tout particulier, et comparez pour un emploi également particulier du mot* sphacèle, *le* § 5 *du* Deuxième livre des Maladies.) Maladie sphacélique : le malade éprouve les mêmes accidents que dans le cas précédent; mais il vomit des grumeaux coagulés de bile; il en rend aussi par le bas quand il va à la selle. On fera comme il a été dit plus haut, et on prescrira des lavements.

FIN DU DEUXIÈME LIVRE DES MALADIES.

ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

DES MALADIES. LIVRE TROISIÈME.

ARGUMENT.

Quoique ce *Troisième livre des maladies* commence par : *J'ai parlé de toutes les fièvres, je vais maintenant parler du reste*, cependant ce n'est pas la suite du *Deuxième livre*, où il n'est pas traité des fièvres spécialement; seulement cela indique que nous n'avons là qu'un fragment, et qu'il nous manque un traité dont les fièvres faisaient le sujet.

Ce *Troisième livre* est, jusqu'à un certain point, une autre rédaction du *Deuxième livre* des maladies. Les modes de traitement sont identiques; les mêmes expressions se retrouvent des deux côtés; plusieurs maladies sont décrites dans le *Troisième* presque avec les mêmes termes que dans le *Deuxième;* et, comme il y a dans le *Deuxième* des parties qui figurent deux fois dans ce même *Deuxième,* on voit qu'on a, de certaines parties, jusqu'à trois rédactions. Ce sont des remaniements appartenant, non pas sans doute au même auteur, mais ou à des disciples de la même école ou à des gens à peu près contemporains; conclusion à laquelle on arrive toujours de quelque côté que l'on examine la Collection hippocratique. C'est ainsi que des parties étaient communes entre le livre des *Sentences cnidiennes,* attribué à Euryphon, et le *Deuxième livre des Maladies,* § 68. On verra dans l'*Argument* du traité de la *Nature de la Femme* que les parties communes n'étaient pas bornées à ce paragraphe.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255=E, 2144=F, 2141=G, 2142=H, 2140=I, 2143=J, 2145=K, Cod. Serv. ap. Foes=L, 2332=X, 2148=Z, Imp. Corn. ap. Mack=K′, Imp. Samb. ap. Mack=P′, Cod. Fevr. ap. Foes=Q′, Cod. Vindob.=θ[1].

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Voyez pour cela la bibliographie, t. VI, p. 139[2].

[1] Je n'ai eu pour ce livre que la collation de Mack. — [2] Ajoutez à la bibliographie du *Deuxième livre des Maladies :* Melænæ hippocraticæ genuinæ imago, indoles et diagnosis specialior; dissertatio inauguralis medica J. Lichtschlag; Bonnæ, 1828, in-4°.

ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

1. Περὶ [1] μὲν οὖν πυρετῶν ἁπάντων εἴρηταί μοι· ἀμφὶ δὲ τῶν λοιπῶν ἐρέω ἤδη. [2] Οἴδημα ἐγκεφάλου· ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλὴν, μάλιστα δὲ ὅπη σταίη ἡ φλεγμασίη· ἵσταται δὲ [3] ἐν τῷ κροτάφῳ· τά τε οὔατα ἠχῆς πλήρεα γίνεται, [4] καὶ ἀμβλὺ ἀκούει, καὶ αἱ φλέβες τέτανται καὶ σφύζουσι, πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει, ἥ τε ὀδύνη ἐκλείπει οὐδέποτε, ἀλλὰ ποτὲ μὲν ἀνίησι, ποτὲ δὲ [5] μᾶλλον πιέζει· βοᾷ τε καὶ ἀναΐσσει ὑπὸ τῆς ὀδύνης, καὶ ὁκόταν ἀναστῇ, αὖθις σπεύδει [6] ἐπὶ τὴν κλίνην καταπεσεῖν, καὶ ῥιπτάζει ἑωυτόν. Οὗτός ἐστι μὲν θανατώδης, ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν· ἄλλοι [7] γὰρ ἄλλως ἀπόλλυνται· ὡς μέντοι ἐπιτοπολὺ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν· εἴκοσι δὲ [8] καὶ μίαν διαφυγόντες ὑγιέες γίνονται. Χρὴ δὲ, ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλὴν, μάλιστα μὲν ξύραντα, ἢ ἐς κύστιν ἢ ἐς ἔντερα ἐγχέαντα τῶν ψυκτικῶν τι, οἷον χυλὸν στρύχνου καὶ γῆν κεραμίτιδα, τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν [9] ἢ χλιαρὸν γένηται, καὶ τοῦ αἵματος ἀφαιρέειν, καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου χυλοῖσι μιγνύντα εὐώδεα· ἀοινέειν δὲ τὸ πάμπαν, [10] ῥοφεῖν δὲ πτισάνης χυλὸν ψυχρὸν, καὶ τὴν κάτω κοιλίην λύειν.

2. [11] Πλήρωμα ὀδυνῶδες ἐγκεφάλου· ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει, καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι [12] ἴσχουσι, καὶ παραφρονέει, καὶ ἀποθνή-

[1] Μὲν οὖν om. L. – μὲν om., restit. al. manu E. – νῦν pro οὖν GJ. – μοι εἴρηται EHK. — [2] ο. ἐ. om. FGHIK. – περὶ οἰδήσαντος ἐγκεφάλου E. – περὶ οἰδήσεως ἐγκεφάλου J. – ὁπόταν EGIJK, Ald. – ἐπὴν pro ὁκόταν θ. – ὅπη.... κροτάφῳ om. L. — [3] εἰς τοὺς κροτάφους P'θ. – καὶ (καὶ om. EHKθ, Lind., Mack) τά τε (τὰ δ' P'θ) οὔατα vulg. – πλήρη GIJ. – πλέα EHKP'Q'θ, Lind. — [4] καὶ ἀμβλύει ἡ ἀκοὴ vulg. – καὶ ἀμβλὺ ἀκούει EHKP' (Q', ἀμβλῶ sic) θ, Lind., Mack. – αἱ θ. – αἱ om. vulg. — [5] πιέζει μᾶλλον EH. – Ante βοᾷ addunt καὶ EHK. – ἀΐσσει FGIJ. — [6] ἐς EHKθ. – πεσεῖν vulg. — [7] γὰρ om. K. – δὲ, al. manu γὰρ E. — [8] καὶ om. θ. – ὑγιεῖς GIJ. – γίνονται om., restit. al. manu H. – ξηρήσαντα θ. – ἢ ἐς κύστιν ἢ om. θ. – ἐκχέαντα GJ, Ald. – ψυκτῶν P'Q', Lind. – τι om. θ. — [9] ἢ om., restit. al. manu H. – εἶναι E (H, al. manu γένηται). – μιγνῦντα I. — [10] ῥομφεῖν GIJ, Ald. – πτισσ. E. – ψυχρὸν θ. – ψυχρὸν

1. (*Phlegmasie cérébrale.*) J'ai parlé de toutes les fièvres; je vais maintenant parler du reste. Gonflement de l'encéphale : quand l'encéphale se gonfle par phlegmasie, la douleur occupe toute la tête, surtout là où la phlegmasie est fixée; or, elle se fixe à la tempe; les oreilles sont pleines de tintements; l'ouïe est obtuse; les veines se tendent et battent; il survient parfois de la fièvre et du frisson. La douleur ne cesse jamais; mais tantôt elle se relâche, tantôt elle est plus intense; le malade crie et s'élance par l'effet de la douleur; une fois levé, il se hâte de retomber sur son lit, et est en proie à la jactitation. Un tel cas est mortel; mais en combien de jours a lieu la crise fatale? c'est ce qu'on ne peut juger, les uns succombant d'une façon, les autres d'une autre. Cependant, en général, la mort arrive dans les sept jours; passant vingt et un jours, les malades guérissent. Il faut, quand la douleur est intense, rafraîchir la tête; le mieux est de la raser, et de mettre dans une vessie ou dans un boyau quelque réfrigérant, par exemple le suc de strychnos (*solanum dulcamara*), et la terre de potier; on applique et on retire tour à tour avant que la substance appliquée ne s'échauffe. On ôte du sang, on purge la tête en mêlant des substances odorantes à du jus de persil. Le vin est défendu absolument. Pour potage le malade prend la décoction d'orge, froide. On relâche le ventre.

2. (*Phlegmasie cérébrale, otite.*) Plénitude douloureuse de l'encéphale : quand la tête est très-douloureuse, en raison de la réplétion de l'encéphale, cela indique impureté; de vives douleurs tiennent toute la tête. Le malade a du délire. Il meurt

om. vulg. — [11] π. ὀ. ἐ. om. FGHKθ. – περὶ περιωδυνίας κεφαλῆς EJP'Q', (Lind., περιωδυνίης). — [12] ἴσχουσαι, al. manu σι H. – Post ἴσχ. addit καὶ παρακοπαὶ θ. – ἐκφύγοι vulg. – ἐκφύγῃ GIJK, Ald., Frob., Lind., Mack. – εἰ EKθ. – ῥαγεῖ θ. – πῦον pro ὑγρὸν θ.

σκει ἑβδομαῖος, καὶ οὐκ ἂν ἐκφύγῃ, εἰ μὴ ῥαγείη τὸ ὑγρὸν ἑβδομαίῳ κατὰ τὰ οὔατα· οὕτω [1]δὲ ἡ ὀδύνη παύεται, καὶ ἔμφρων γίνεται· ῥεῖ δὲ πολλὸν καὶ ἄνοσμον. Τούτου [2]μάλιστα μὲν μὴ θεραπεύειν τὰ οὔατα, πρὶν ἂν ἐῤῥωγὸς ἴδῃς τὸ πῦον· ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ [3]τὴν κάτω κοιλίην, λῦσον χωρὶς ἑκατέρην· ἔπειτα πυριᾷν [4]τὴν κεφαλὴν ὡς μάλιστα ὅλην τε καὶ διὰ τῶν οὐάτων καὶ διὰ τῶν ῥινῶν· ῥοφεῖν δὲ πτισάνης χυλὸν, καὶ ἀοινέειν τὸ πάμπαν. Ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπίσχειν, ἔστ' ἂν [5]ἡ πολλὴ τῆς ῥύσιος παύσηται· ἔπειτα κλύζειν τὰ οὔατα οἴνῳ γλυκέϊ ἢ γάλακτι γυναικείῳ ἢ ἐλαίῳ παλαιῷ, χλιαροῖσι δὲ κλύζειν, καὶ πυριᾷν τὴν κεφαλὴν θαμινὰ μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισιν, [6]ἵνα θᾶσσον καθαίρηται ὁ ἐγκέφαλος. Οὗτος τὰ μὲν πρῶτα οὐκ ἀΐει, προϊόντος δὲ τοῦ χρόνου ἥ τε ῥύσις ἥσσων ἐστὶ, καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένῃ παραγίνεται, καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. [7]Φυλάσσεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς καὶ τὰ τοιαῦτα, καὶ ἡσυχάζειν διαίτῃ μαλθακῇ χρώμενον, καὶ ὑπὸ κενεαγγειῶν εὔλυτος ἔστω ἡ κοιλίη ἡ κάτω.

3. [8]Βλητοί· οἱ δὲ βλητοὶ λεγόμενοι εἶναι, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον, καὶ ἀναβλέπειν οὐ δύνανται οἱ μὲν [9]ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ, [10]καὶ κῶμά μιν ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ οἱ κρόταφοι πηδῶσι, καὶ πυρετὸς λεπτὸς [11]ἔχει καὶ τοῦ σώματος ἀκρασίη. Οὗτος ἀποθνήσκει τριταῖος ἢ πεμπταῖος· ἐς δὲ τὰς ἑπτὰ οὐκ ἀφικνέεται· [12]ἢν δὲ ἄρα ἀφίκηται, ἐξάντης γίνεται. Τοῦτον ἢν βούλῃ θεραπεύειν,

[1] Τε pro δὲ EHIJKθ, Ald., Frob., Mack. – ἥ τε ὀδύνη I, Lind. – ἔκφρων F (H, al. manu) I. — [2] μάλιστα EHKθ. – μᾶλλον vulg. – τὰ οὔατα om. θ. – ἀνερρωγὸς pro ἂν ἐῤ. IJ. – πύος K. — [3] τὴν om. GJ. – λύσον Mack. — [4] μὲν (μὲν om. FIJKθ) τὴν vulg. – ὅλην δὲ (τε EFHIJK, Ald., Frob., Lind., Mack) vulg. – ῥομφεῖν G, Ald. – πτισσ. E. – ἀοινεῖν EHIJK. — [5] ὑπολλὴ (sic), al. manu ἡ π. H. – πολὴ K. – γλυκέει K. – ἐν (ἐν om., H restit. al. manu, θ, Ald.) μαλθ. vulg. – εὐόδμησι K. — [6] ὡς θᾶσσον καθαιρῆται (καθαρεῖται Lind.; καθαιρεῖται EGJ, Ald., Frob.) vulg. – ἵνα θᾶσσον καθαίρηται θ, Mack. – οὗτος μὲν τά γε πρῶτα vulg. – οὗτος τὰ μὲν πρῶτα EHKQ'θ, Mack. – οὐκ ἐσακούει EHK. – οὐδὲν ἀκούει θ. – ὅτε ἡ pro ἥ τε Lind. – ἥσσων EK, Lind. – ἧσσον vulg. – ὁμοιοῦταί τε sine καὶ EHKθ, (Lind., γε). — [7] φυλάττεσθαι vulg. – φυλάσσεσθαι EHIJK. – αὐτὰ pro τὰ τοιαῦτα EFGHIJKθ, Ald. – χρώμενος FGHJK. – καὶ om., restit. al. manu H. – ὑποχεναγγέων (sic) J. – κενεαγγέων vulg. – χεναγγέων G. – κενεαγγείων Lind., Mack. – ἡ κάτω om., restit. al. manu κάτω ante κοιλίη E. — [8] βλ. om. θ. – περὶ βλητῶν EFGHIJK. – εἶναι om. θ. — [9] ἀμφοτέροισι τοῖσιν ὀφθαλμοῖσιν θ. — [10] ἀλλὰ pro καὶ θ. –

le septième jour, sans espoir de salut, si, au septième jour, du liquide ne fait éruption par les oreilles; de cette façon la douleur cesse, et la connaissance revient. Le liquide qui s'écoule est abondant et inodore. Dans cette affection vous ne vous occuperez pas de traiter les oreilles, tant que vous n'aurez pas vu le pus faire éruption. Si vous voulez évacuer par le haut et par le bas, effectuez ces deux opérations séparément. Puis vous donnerez un bain de vapeur à la tête en totalité, et par les oreilles, et par les narines. Pour potage le malade prendra la décoction d'orge. Il s'abstiendra de vin absolument. Quand le pus aura fait éruption, on suspendra toute chose jusqu'à ce que le fort de l'écoulement soit passé; puis on nettoyera les oreilles avec du vin doux ou du lait de femme ou de la vieille huile; ces injections seront tièdes. On soumettra fréquemment la tête à des vapeurs émollientes et suaves, afin que le cerveau se purge plus promptement. D'abord le malade n'entend pas; mais avec le temps le flux diminue, l'ouïe, complétement supprimée pendant le flux, se rétablit, et il redevient tout à fait semblable à lui-même. Il se gardera du soleil, du vent, du feu, de la fumée, des odeurs âcres et choses semblables; il se tiendra en repos, usant d'un régime émollient; à l'aide de la vacuité des vaisseaux le ventre inférieur sera tenu libre.

3. (*Apoplexie ou ramollissement du cerveau. Comp.* des Maladies, II, § 8.) Sidérés : ceux qu'on nomme sidérés sont ainsi. quand l'encéphale se remplit de beaucoup d'impuretés, ils éprouvent d'abord de la douleur à la partie antérieure de la tête; ils ne peuvent voir, les uns des deux yeux, les autres d'un œil; ils sont dans le coma; ils n'ont pas leur connaissance; les tempes battent, il y a une fièvre légère, et le corps est impuissant. Ils meurent le troisième ou le cinquième jour; ils ne vont pas jusqu'au septième; si cependant ils atteignent ce terme, ils réchappent. En ce cas, si vous voulez le traiter, vous ferez prendre un bain de vapeur à la tête; par des inci-

ἄφρονες θ. — [11] ἴσχει E. – τὰ (τὰς FHKLθ, Mack) ἑπτὰ vulg. – ἀπικνέεται L. — [12] εἰ δ' GIJ, Ald. – δ' EHK, Frob.

πυριᾷν τὴν κεφαλὴν, καὶ ταμὼν ἀνάπνευσιν ποιέειν· ἢν [1] δὲ ὀδύνη ἐστηριγμένη ᾖ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ, καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι, καὶ τὴν κάτω κοιλίην καθαίρειν, ἀοινέειν δὲ τὸ πάμπαν, πτισάνης δὲ χυλῷ χρῆσθαι.

4. [2] Σφακελισμὸς ἐγκεφάλου· ἢν [3] δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλὴν, καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν, καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη, καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλὴν, καὶ [4] ἰδίει ὅλος, καὶ ἐξαίφνης ἄφωνος δείκνυται, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, καὶ πελιδνὸς γίνεται. Τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει· ἢν δὲ σφόδρα ἀπειλημμένος ᾖ, ἀποθνήσκει τάχα. Τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐωδέων, καὶ τὰς κοιλίας ἄμφω καθαίρειν ἐν μέρει ἑκατέρην, [5] κούφας δὲ ὀδμὰς ἐχόντων τῇσι ῥισὶν ἀείρειν, καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρόν· ἀοινέειν δὲ τὸ πάμπαν.

5. [6] Λήθαργοι· οἱ δὲ [7] λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περιπλευμονίῃ, χαλεπωτέρη δὲ καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπλευμονίης· βραδυτέρη [8] δὲ πουλὺ ἡ νοῦσος. Πάσχει δὲ τάδε· βὴξ καὶ κῶμά μιν ἔχει, καὶ τὸ σίαλον ὑγρὸν καὶ [9] πολὺ ἀνάγει, καὶ ἀδυνατέει σφόδρα, καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, [10] κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. Τούτῳ ἐλπὶς μὲν πάνυ βραχέη περιγενέσθαι· ὅμως δὲ πτύειν τε ποιέειν ὡς πλεῖστον καὶ θερμαίνειν καὶ ἀοινέειν· ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται.

6. [11] Καυσώδης· ἡ δὲ καυσώδης λεγομένη, δίψα τε ἔχει πολλὴ, καὶ ἡ γλῶσσα πέφριχε, τὸ δὲ χρῶμα αὐτῆς τὸν μὲν πρῶτον χρόνον

[1] Δ' EHK. – ὀδύνην L. – ἔχῃ vulg. – ἐστήκῃ, al. manu ἔχῃ H. – ἐστηριγμένη ἢ (sic) θ. – χρὴ om. θ. – πτισσ. E. – χρῆσθαι χυλῶ EHK. — [2] σ. ἐγκ. om. Hθ. – ἢν σφακελίσῃ ὁ ἐγκέφαλος pro σφ. ἐγκ. EFGIJK. — [3] δὲ om. E. – ἔχει θ. — [4] οἰδέει vulg. – ἰδίει θ. – γίνεται pro δείκνυται EHK. – ῥέει Lind. – εἰλημμένος ᾖ, θνήσκει vulg. – ἀπειλημένος (sic) ἢ ἀποθνήσκει θ. – τάχα om. FGIJ. – ταχέως EHKQ', Lind., Mack. – ἐν μέρει ἢ (μοίρῃ sine ἢ Mack) ἑκατέρην (ἑκάτερον Mack) vulg. – Il faut en effet supprimer avec Mack ἢ, qui provient de la répétition, par iotacisme, de ει finale de μέρει. Mais μέρει peut rester. — [5] καὶ τῶν εὐωδέων (καὶ τ. εὐ. om. θ) κούφας δὲ vulg. – ῥόμφημα G, Ald. – τε καὶ om. θ. — [6] λ. om. θ. – περὶ ληθάργων EFIJK. — [7] λίθαργοι J. – ληθαργικοὶ θ. – περιπν. (bis) JK. – χαλαρωτέρη θ. – Post ὑγρῆς addit γὰρ Lind. — [8] δὲ om. Lind. – δ' ἡ νοῦσος πολλὸν θ. – πολὺ EHIJK. – καὶ κῶμά μιν om. θ. — [9] πουλὺ Lind. — [10] πολὺ pro κάτω E. – ἐπὶ om. K. – πουλὺ Lind. – βραχεῖα vulg. – βραχέη θ. — [11] κ. om. θ. – καυσώδης

sions vous y pratiquerez des débridements. Si la douleur est fixée, il faut de plus provoquer des éternuements et purger la tête par des substances légères et suaves; on évacuera le ventre inférieur. Le malade s'abstiendra de vin absolument; il usera de la décoction d'orge.

4. (*Il ne s'agit pas de sphacèle, voyez* des Maladies, II, *le* § 5, *dont celui-ci est une répétition.*) Sphacèle de l'encéphale : si l'encéphale se sphacèle, une douleur tient la tête, et gagne par le cou le rachis; le malade devient sourd; un sentiment de froid s'étend sur la tête; le malade est tout en sueur; il perd soudainement la parole; il rend du sang par les narines, et il devient livide. Si la maladie prend avec une intensité médiocre, il réchappe, du sang s'écoulant; si elle prend avec force, il meurt promptement. En ce cas, on provoquera des éternuements par les substances suaves; on évacuera par le haut et par le bas, alternativement; les odeurs des errhins seront peu actives; le potage sera léger et chaud; le vin est absolument interdit.

5. (*Léthargus ou fièvre pseudo-continue avec somnolence; voy. t. II, p.* 572. *Comp.* des Mal., II, § 65.) Léthargus : dans le léthargus le mal a la même constitution que dans la péripneumonie; mais le léthargus est plus difficile, et il ne va guère sans une péripneumonie humide; il a une marche beaucoup plus lente. Voici les accidents : il y a toux et coma; l'expectoration est aqueuse et abondante; le malade est dans une grande faiblesse; et, quand il est sur le point de mourir, il a des selles abondantes et aqueuses. En ce cas, il y a bien peu d'espérance de salut; cependant on le fera expectorer autant que possible, on l'échauffera, on interdira le vin. S'il réchappe, une suppuration se forme.

6. (*Fièvre ardente. Comp.* des Mal., II, § 63.) Fièvre causode : dans la fièvre dite causode, la soif est vive; la langue est rugueuse; d'abord elle conserve sa couleur, mais elle est très-

in marg. al. manu H. – περὶ καυσώδευς EFGIJK. – Post λεγομένη addit [πυρετὸς τὸν ἄνθρωπον σφοδρὸς] Lind.

οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα· προϊόντος δὲ τοῦ χρόνου σκληρύνεται καὶ [1] τρηχύνεται καὶ παχύνεται καὶ ἐπιμελαίνεται. [2] Ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, θάσσους αἱ κρίσιες γίνονται· ἢν δὲ ὕστερον, χρονιώτεραι· τῆς δὲ ἀφέσιος ταῦτα πάντα ἡ γλῶσσα σημαίνει ἅπερ ἐν τῇ [3] περιπλευμονίῃ· καὶ τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα· ξανθὰ δὲ, ἀπονώτερα· καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης [4] ξυγκεκαυμένον καὶ παχύ ἐστι· πολλάκις δὲ καὶ ἐς τὴν περιπλευμονίην μεθίσταται, καὶ ἢν μεταστῇ, τάχα ἀποθνήσκει. Τοῦτον [5] δὲ ὧδε χρὴ θεραπεύειν· λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης πλὴν τῆς κεφαλῆς, καὶ ἐν τῇσι κρίσεσιν οὐ χρὴ λούειν, καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων ὑποκαθαίρειν καὶ ὑδροποτέειν· καὶ [6] γὰρ ἔμετον ἄγει τὸ ὕδωρ ὡς ἐπιτοπολύ· τὰς δὲ ὑστέρας μετὰ τὴν κάθαρσιν ὑγραίνειν, καὶ ῥοφήμασι χρῆσθαι καὶ οἴνοισι γλυκέσιν. Ἢν δὲ μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημηΐων [7] ἐνεόντων, ἐᾷν χρὴ ἕως ἂν αἱ κρίσιες παρέλθωσι [8] καὶ τὰ τῆς γλώσσης σημήϊα ἠπιώτερα γένηται, καὶ μήτε φάρμακον δῷς μήτε κλύσῃς ἐς κάθαρσιν, πρὶν αἱ κρίσιες παρέλθωσιν.

7. [9] Ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης· [10] ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θερμασίης πλησθεὶς, βὴξ ἴσχει ἰσχυρὴ καὶ σκληρὴ, καὶ ὀρθοπνοίη, καὶ ἀναπνέει ἀθρόον, καὶ ἀσθμαίνει πυκνὸν, καὶ [11] ἰδίει, καὶ τοὺς μυκτῆρας ἀναπετάννυσιν ὥσπερ ἵππος ἐκ δρόμου, καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει, καὶ τὰ στήθεα [12] αὐτῷ ἀείδειν δοκέει καὶ βάρος ἐνεῖναι, διὸ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαῤῥήγνυται καὶ ἀδυνατέει· [13] ἥ τε ὀδύνη ὀξέη ἴσχει, καὶ τὸ νῶτον καὶ τὰ στήθεα

[1] Τραχ. IJ. – ἔπειτα μελαίνεται pro καὶ ἐπιμελαίνεται θ. — [2] ἢν μὲν οὖν ἐν EH. – ἢν μὲν γὰρ ἐν L. – καὶ ἢν μὲν ἐν Lind. – θάσσους ἐκκρίσιες θ. — [3] περιπν. EHK. – χλωρὰ pro χολώδεα θ. – ἀπορώτερα FGJ. – ὑπερθερμασίης pro ὑπὸ θερμ. HJ. — [4] σ. EHIJ. – συγκαιόμενον K. – καὶ om. θ. – τε pro δὲ Lind. – περιπν. K. – καθίσταται L. — [5] δὲ om. EHK. — [6] γὰρ om. θ. – ἐπιτοπουλὺ GIJ, Ald., Lind. – ῥομφήμασι G, Ald. – οἴνεσι, al. manu οι H. — [7] ἐόντων EHKθ. — [8] καὶ.... παρέλθωσιν om. FGIJ. – γλώττης K. – ἠπ. Ald., Frob. – δοῖς pro δῷς θ. – μήτε κλύσις (κλύσῃς EH, Ald., Frob., Mack) (μήθ' ἐλκύσῃς K) vulg. – πλὴν pro πρὶν θ. — [9] ὁ π. οἰ. ὑ. τ. θερ. om. θ. – ὅταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ τῆς θερμασίης FG (H, in marg. al. manu). – ὅταν ὁ πνεύμων οἰδήσῃ ὑπερθερμασίης πλησθεὶς E. – ὅταν ὁ πλεύμων οἰδέῃ ὑπὸ θέρμης I. – θέρμης Lind. — [10] ὁκόταν δὲ ὁ EHK (θ, ὅταν). – πνεύμων EGHJK – πλησθῇ ὑπὸ θερμασίης καὶ οἰδήσῃ EHK. – πρισθῇ ὑπὸ φλεγμασίης καὶ οἰδήσῃ θ. – θέρμης Lind. – ἰσχυρὴ καὶ om. EHK. – καὶ σκληρὴ om. θ. –

sèche; au bout de quelque temps elle devient dure, raboteuse, épaisse et noire. Si le malade éprouve ces accidents au début, les crises sont plus promptes; si plus tard, elles sont plus lentes. Pour la solution, la langue a toutes les mêmes significations que dans la péripneumonie. Les urines, étant bilieuses ou sanguinolentes, annoncent de la souffrance ; étant jaunes, de la rémission. L'expectoration, par la chaleur et la sécheresse, est brûlée et épaisse. Souvent aussi la maladie se change en péripneumonie ; et, cela arrivant, le malade succombe promptement. Dans une telle affection voici ce qu'il faut faire : on lavera à l'eau chaude deux ou trois fois par jour excepté la tête ; dans les crises il ne faut pas laver. Les premiers jours, ou évacuera modérément, et on fera boire de l'eau. L'eau en effet provoque d'ordinaire le vomissement. Les jours suivants, après l'évacuation, on humectera; on prescrira les potages et les vins doux. Si vous avez le malade, non dès le début, mais alors que les signes sont déjà sur la langue, vous resterez en repos jusqu'à ce que les crises soient passées et que les signes de la langue deviennent meilleurs. Vous ne donnerez ni un évacuant ni un lavement purgatif avant la fin des crises.

7. (*Affection aiguë des voies respiratoires. Comp.* des Maladies, II, § 58.) Le poumon se gonflant par la chaleur : quand le poumon se gonfle rempli par la chaleur, il y a une toux forte et sèche, de l'orthopnée, respiration précipitée, anhélation. Le malade sue ; il ouvre les narines comme un cheval après une course ; il tire souvent la langue ; il lui semble que sa poitrine crie et qu'un poids l'oppresse ; pour cela il ne peut dilater la poitrine ; mais il éprouve un sentiment de rupture et une grande faiblesse. Il y a une douleur vive; le dos, la poitrine et les côtes sont comme piqués d'aiguilles ; il y ressent une brû-

ἀναπνεῖ vulg. – καὶ ἀναπνέει καὶ πυκνὸν καὶ ἀσθμαίνει ἀθρόον θ. – καὶ πυκνὸν ἀσθμαίνει EHK. — [11] οἰδέει vulg. – οἰδίει G. – δίει (E, al. manu οἰδέει) HIJK. – ἰδίει θ. – ὡς ἵππος δραμὼν θ. — [12] αὐτῷ.... στήθεα om. J. – δοκεῖ HK. – ἐνεῖναί τι ὃ (διὸ pro τι ὃ EFGIKθ, Ald., Frob., Lind., Mack) χωρέειν vulg. – διαρήγνυται HI. — [13] ἤδε θ. – ὀξείη vulg. – ὀξέη K. – καὶ om. EHKP'θ. – τόν τε (τε om. θ) νῶτον vulg. – Je pense qu'il faut lire τὸ νῶτον.

καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι, καὶ καίεται [1]ταῦτα ὡς πρὸς πῦρ καθήμενος, καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ στῆθος καὶ τὸ νῶτον ὡς φλογοειδέα, καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει, καὶ ἀπορέει, ὥστε οὔτε ἑστάναι οὔτε καθῆσθαι οὔτε καταχεῖσθαι οἷός τέ ἐστιν, [2]ἀλλ' ὧδε ἀπορέων βληστρίζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι· ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος· ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλα ἀποθνήσκει. Τοῦτον ἢν θεραπεύῃς, [3]χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσμασι καλῶς, καὶ ἀπὸ τῶν ἀγκώνων καὶ τῆς ῥινὸς καὶ τῆς γλώσσης καὶ πάντοθεν τοῦ σώματος αἷμα ἀφιέναι, καὶ πόματα διδόναι ψυκτικὰ καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα, καὶ τῶν οὐρητικῶν, μὴ [4]θερμαινόντων δὲ, πολλάκις διδόναι· καὶ [5]πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ προσφέροντα χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον οὗ ἂν ᾖ ἡ ὀδύνη, [6]πρὸς δὲ τὰ ἄλλα ψυκτήρια προσίσχειν τὰ μὲν ἀφαιρέοντα, τὰ δὲ προστιθέντα, καὶ ὅκου ἂν καταχαίηται, ψῦχος ποιέειν, ἀοινέειν δὲ τὸ πάμπαν.

8. [7]Κεφαλῆς ὀδύνη· ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη [8]ὀδύνη ὀξέη ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης, οὗτος ἀποθνήσκει ἑβδομαῖος. [9]Ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες καὶ ἄφωνοι μείναντες ἀποθνήσκουσιν· ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται· ποιέουσι [10]δὲ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, [11]οἱ δ' ἕτεροι ἀπόλλυνται. Τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυροὺς, καὶ ὑποκλύσαι ὅ τι ἂν χολὴν ἄξῃ σφόδρα, καὶ

[1] Τὰ ὦτα pro ταῦτα θ. – πυρὶ καθιζόμενος θ. – ἐκφλύει θ. – τὸν νῶτον vulg. – τὸν ὦτον καὶ ὡς φολιδοειδὲς θ. – φλυγοειδέα J. – ἀπορίη vulg. – ἀπορέει E. – ἀπορέῃ P'. – ὥστε οὔτε καταχεῖσθαι οὔθ' ἵστασθαι οὔτε καθίζεσθαι θ. – οὔτε καταχεῖσθαι om. E. — [2] ἀλλ' ἀπορέει ἀλύων ῥιπτάζει τε ἑωυτὸν θ. – διαφεύγῃ E. – ἐκφύγῃ θ. – ἀποθνήσκει θ. – θνήσκει vulg. — [3] χρὴ om. (H, restit. al. manu) θ. – κοιλίαν K. – κλύσματι FGHθ, Ald., Mack. – εὖ pro καλῶς EHθ. – γλώσσης EHK, Mack. – γλώττης vulg. – τοῦ σώματος om. (H, restit. al. manu) θ. – ἀφιθῆναι (sic) FGJ. – ῥομφήματα G, Ald. — [4] θερμαινομένων E. — [5] ἐς Lind. – προσίσχειν pro προσφέροντα θ. – χλιαίνειν.... ὀδύνη om. θ. – ἡ ὀδύνη ἢ EHK. — [6] τὸ pro πρὸς θ. – προΐσχειν vulg. – προσίσχειν θ. – τὸ μὲν ἀφ., τὸ δὲ θ. – ἢν pro ὅκου ἂν θ. – καταχέηται vulg. – καταχαίηται EHIJKLθ, Lind., Mack. — [7] κ. ὀ. om. (H, al. manu ὅταν τῆς κεφαλῆς ὀδύνη ἄρξηται) IJθ. – ὅταν ἀπὸ τῆς κεφαλῆς ἡ ὀδύνη ἄρξηται K. – ἢν ἀπὸ κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη in marg. E. — [8] ἡ (ἡ om. EHIJK) ὀδύνη vulg. – ὀξείη Lind., Mack. – ποιήσει θ. – μέθης ὅταν γένηται (ὅταν γένηται om., H restit. al. manu, θ), οὗτος vulg. — [9] ἧσσον δὲ τοῖσιν ἐκ τῆς μέθης θανάσιμα pro ἧσσον.... ἀπο-

lure comme s'il était assis près du feu ; des rougeurs comme des flammes apparaissent sur la poitrine et le dos. De fortes mordications surviennent; il est dans l'angoisse, de sorte qu'il ne peut rester ni debout ni assis ni couché. Dans cette angoisse il s'agite, et il semble moribond. Il meurt en effet, d'ordinaire, le quatrième ou le septième jour; s'il passe ce terme, il n'est plus guère exposé à succomber. Si vous traitez ce malade, vous évacuerez aussitôt et abondamment le ventre inférieur par les lavements; vous tirerez du sang au pli du bras, aux narines, à la langue et partout. Vous donnerez des boissons rafraîchissantes, des potages ayant même vertu; vous donnerez souvent des diurétiques, qui ne soient pas échauffants. Pour les douleurs mêmes, quand elles sont pressantes, vous échaufferez et humecterez à l'aide d'applications légères et humides le lieu où la douleur est ressentie; pour le reste, vous appliquerez des rafraîchissants, que vous enleverez et remplacerez tour à tour. Là où il y a sentiment de brûlure, vous procurerez du froid. Vous interdirez absolument le vin.

8. (*Affection cérébrale aiguë suite d'un excès de boisson. Comp.* des Maladies, II, § 22.) Douleur de tête : quand une douleur aiguë partant de la tête ôte subitement la parole, principalement après l'ivresse, le patient succombe le septième jour. Ceux qui éprouvent quelque chose de semblable à la suite de l'ivresse et qui demeurent privés de la parole, sont moins exposés à succomber; en effet, si la parole fait éruption le jour même ou le lendemain ou le surlendemain, ils guérissent (Aph. v, 5). A la suite de l'ivresse cette terminaison a lieu chez quelques-uns, mais ceux qui ne parlent pas périssent. En cette affection, vous procurerez de forts éternûments; vous prescrirez des lavements qui évacuent énergiquement la bile. Si le malade reprend ses sens, vous lui donnerez du suc

θνήσκουσιν θ. – θνήσκουσιν vulg. – ἀποθνήσκουσιν K. – ἢ τῇ ὑστεραίῃ om. θ. – τριταῖοι pro τῇ τρίτῃ θ. – εἰσὶ (H, al. manu γίνονται) θ. — [10] δὲ οἱ (οἱ om. Lθ, Mack) ἐκ vulg. — [11] καὶ (καὶ om., H restit. al. manu, θ) οὐδέτεροι (οἱ δ' ἕτεροι θ) vulg. – ὃ pro ὅ τι θ. – ἂν om. (H, restit. al. manu) θ. – ἄξει HKθ.

ἢν ἐπαίσθηται, ὀπὸν θαψίης δοῦναι ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ· ἔπειτα [1]ἀπισχναίνειν, καὶ [2]ἀοινέειν ἑπτὰ ἡμέρας· ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώσσης αἷμα, ἢν δύνῃ λαβεῖν φλέβα.

9. [3]Φρενίτιδες· [4]φρενίτιδες δὲ γίνονται καὶ ἐξ ἑτέρων νούσων. Πάσχουσι δὲ τάδε· τὰς φρένας ἀλγέουσιν, ὥστε μὴ ἐᾶσαι ἂν ἅψασθαι, καὶ πῦρ ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ ἀτενὲς βλέπουσι, καὶ τἄλλα παραπλήσια ποιέουσι τοῖσιν ἐν [5]τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν [6]τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. Τοῦτον χλιαίνειν δεῖ χλιάσμασιν ὑγροῖσι καὶ πόμασι πλὴν οἴνου, [7]καὶ ἢν μὲν οἷός τε ᾖ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρὴ ὥσπερ ἐν τῇ περιπλευμονίῃ· εἰ δὲ μὴ, τὴν κάτω κοιλίην παρασκευάζειν ὅκως ὑποχωρέῃ· ὑγραίνειν δὲ πόματι· ἀγαθὸν γάρ. Ἡ δὲ νοῦσος θανατώδης· ἀποθνήσκουσι [8]δὲ τριταῖοι ἢ πεμπταῖοι ἢ ἑβδομαῖοι· ἢν δὲ ἠπίως ληφθῇ, κρίνει ὡς περιπλευμονίη.

10. [9]Κυνάγχη· ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὤνθρωπος, καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἐνέχεσθαι, [10]καὶ οὔτε τὸ σίαλον κατασπᾷ [11]οὔτε ἄλλο οὐδὲν, καὶ τὼ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον ὡς ἀπαγχομένοισι, καὶ [12]ἐκβλέπει αὐτοῖσιν ἀτενὲς, καὶ ἐπιστρέφειν οὐχ οἷός τέ ἐστιν αὐτοὺς, καὶ λύζει, καὶ ἀναΐσσει θαμινὰ, καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, ἀτὰρ καὶ ὁ τράχηλος· [13]ὑπὸ δὲ τοῖσιν οὔασιν οὐδὲν κακὸν ἔχειν δοκέει· καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον, καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν, οὔτε ἤν τι λέγῃ,

[1] Ἐπισχ. vulg. – ἀπισχ. EHIKQ'θ, Mack. — [2] ἀσινέειν (sic) J. – ἀσιτέειν L, Lind. – γλώττης vulg. – γλώσσης EHIJK, Mack. – αἷμα pro φλέβα L. – [τὴν] φλέβα Lind. — [3] φρ. om. Hθ. – περὶ φρενιτίδων EFGIJK. — [4] φρενίτις δὲ γίνεται μὲν ἐξ θ, (Mack, καὶ pro μέν). – ἑτέρης νούσου EHKθ, Mack. – ἐάσαι I, Frob., Lind., Mack. – ἤχει vulg. – ἔχει θ, Mack. – ἀτενέες vulg. – ἀτενὲς E, Lind., Mack. – τὰ ἄλλα EH. — [5] τῇσι περιπλευμονίῃσι EHK, Mack. – περιπν. G. — [6] τῇσι περιπλευμονίῃσι Mack. – περιπν. EGJK. – εἰσὶ pro ἔωσι EGHIJ, Ald. – δεῖ om. (H, restit. al. manu) θ. — [7] κἢν Mack. – περιπν. EHK. – ὅπως EHK. – ὑποχωρέει H, Ald., Frob. – πόμασι Lind. — [8] δὲ EHK, Mack. – γὰρ pro δὲ vulg. – ἢ ἑβδ. om. FGIJ. – ἠπίως Ald., Frob. – κρινέει θ. – περιπν. EK. — [9] κ. om. θ. – νοῦσος ἡ καλεομένη κυνάγχη FG. – ἀπὸ E. – λεγομένης θ. – τε pro πνίγεται θ. – ὁ (ὁ om., restit. al. manu H) ἄνθρωπος vulg. – ὤνθρωπος θ. – φάρυγι I. – οἱ μᾶλλον EHK. – ἀνέχεσθαι (H, al. manu ἐν) K. — [10] καὶ κατασπᾶ οὔτε τὸ σίαλον, al. manu καὶ οὔτε κατ. τὸ σ. H. – κατασπᾶ τὸ σίαλον EK. — [11] οὔτ' G, Ald., Frob. – καὶ οἱ ὀφθαλμοὶ πονέουσί τε καὶ ἐξέχουσιν ὡς

de thapsie dans un liquide abondant et chaud, afin qu'il vomisse aussitôt que possible. Ensuite vous l'atténuerez, et vous lui interdirez le vin pendant sept jours. Vous tirerez aussi du sang de la langue, si vous pouvez saisir la veine.

9. (*Phrénitis ou fièvre pseudo-continue avec délire. Voy. t. II, p. 571 ; seulement ici l'auteur insiste sur la douleur précordiale, qui, en effet, n'est pas rare dans les fièvres rémittentes.*) Phrénitis : la phrénitis survient aussi à la suite d'autres maladies. Voici les accidents : le malade a la région phrénique douloureuse, à ce point qu'il n'y laisse pas porter la main ; fièvre, délire, regard fixe, et autres accidents semblables à ceux de la péripneumonie, quand dans la péripneumonie il y a délire. En ce cas, on échauffera avec des applications humides et avec des boissons, sauf le vin ; si le malade est en état, on purgera par le haut, et on évacuera par la toux et l'expectoration comme dans la péripneumonie : sinon, on disposera le ventre inférieur de manière qu'il soit libre ; on humectera par les boissons ; car cela est utile. La maladie est dangereuse ; on meurt le troisième jour ou le cinquième ou le septième ; dans le cas où elle est plus modérée, elle se juge comme la péripneumonie.

10. (*Angine.*) Angine : dans la maladie dite angine, le patient est suffoqué ; c'est surtout dans la gorge qu'il lui semble avoir quelque chose. Il ne peut avaler ni la salive ni quoi que ce soit. Les yeux sont douloureux et saillants comme dans la strangulation ; le regard en est fixe ; et le malade ne peut les mouvoir. Il a le hoquet, de la jactitation ; le visage et la gorge s'enflamment, et même le cou. Sous les oreilles il ne paraît avoir aucun mal. La vue et l'ouïe sont plus obtuses. Par l'effet de la suffocation il est hors de sens soit qu'il parle, soit qu'on

ἀγχομένοισι θ. — [12] βλέπει vulg. - βλέπτει Frob. - ἐσβλέπει H. - ἐκβλέπει θ. - καὶ στρέφειν σφέας οὐχ οἷός τε sine ἐστιν αὐτοὺς θ. - ἔχει pro ἐστιν GK. - ἔχειν pro ἐστιν E (H, supra lin. al. manu). - ἀλύζει K'. - φάρυξ I. - ἀτὰρ om. θ. — [13] τοῖσι δὲ ὀρέουσιν (οὐρέουσιν G ; ὀρέωσιν EHK) (ὑπὸ δὲ τοῖσιν οὔασιν θ) οὐδὲν vulg. - ἀμβλήτερον K.

οὔτε ἤν τι ἀκούῃ ἢ ποιέῃ· ἀλλὰ κεχηνὼς κέεται [1]σιαλοχοέων· τοιάδε [2]ποιέων οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑβδομαῖος ἢ ἐνναταῖος. Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημηΐων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον, καὶ καλέουσιν αὐτὴν παρακυνάγχην. Τοῦτον φλεβοτομέειν χρὴ, μάλιστα [3]μὲν ὑπὸ τὸν τιτθόν· συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος θερμὸν πνεῦμα· χρὴ δὲ καὶ τὰ κάτω καθαίρειν φαρμάκῳ ἢ κλύσματι, καὶ τοὺς αὐλίσκους παρῶσαι [4]ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς ἕλκηται τὸ πνεῦμα ἐς τὸν [5]πλεύμονα, καὶ ποιέειν ὡς τάχιστα πτύσαι, καὶ ἰσχναίνειν τὸν [6]πλεύμονα, καὶ ὑποθυμιᾷν ὕσσωπον κιλίκιον καὶ θεῖον καὶ ἄσφαλτον, καὶ ἕλκειν διὰ τῶν αὐλίσκων καὶ διὰ τῶν ῥινῶν, ὡς [7]ἐξίῃ φλέγμα, καὶ τὴν φάρυγγα καὶ τὴν γλῶσσαν ἀνατρίβειν τοῖσι τὸ φλέγμα ἄγουσι, καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν, ἀφιέναι δὲ [8]αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ· ἀοινεῖν δὲ, καὶ ῥοφεῖν πτισάνης χυλὸν λεπτόν· ἐπειδὰν δὲ [9]ἀφῇ ἡ νοῦσος καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ.

11. [10]Νοῦσος ἴκτερος· ἴκτερος τοιόσδε ἐστὶν ὁ ὀξὺς καὶ διὰ τάχεος ἀποκτείνων· ἡ χροιὴ [11]ὅλη σιδιοειδὴς σφόδρα ἐστὶν ἢ χλωροτέρη οἵη οἱ σαῦροι οἱ χλωροί· παρόμοιος δὲ καὶ [12]ὁ χρὼς, καὶ τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυῤῥόν· καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει· ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται, καὶ ξύεται, καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ τὰ σπλάγχνα ἀμύσσεται ὡς ἐπιτοπουλὺ, καὶ ὁκόταν [13]ἐγείρῃ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. Οὗτος ὡς ἐπιτοπολὺ ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων· ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. Χρὴ δὲ θερμολουτέειν, [14]καὶ πίνειν μελίκρη-

[1] Σιαλοχέων (σιαλ. om. θ) vulg.– σιαλοχοέων Lobeck, Phryn. Ecl., p. 572. — [2] πονέων Lind. – ἐνατ. HK. – Post ἐνν. addit παρακυνάγχη vulg. – παρακυνάγχη om. GKθ. – σημηΐων EHK. – σημείων vulg. – αὐτὴν om. (H, restit. al. manu) θ. — [3] μὲν HIJθ, Mack. – δὲ pro μὲν vulg. – παρὰ pro ὑπὸ L. – τὸν om. θ. – πνεύμονος EHK. — [4] εἰς E. – ἐς om. Lind. – φάρυγα IJ. – ἕλκυται Ald., Frob. — [5] πν. K. — [6] πν. K. – ὑπ. δὴ (δὲ HIJK, Lind.; δεῖ, al. manu δὴ E) (δὴ om. θ) ὕσσωπον (ὕσωπον KJ) vulg. — [7] ἐξέλῃ L. – φάρυγα J. – γλῶσσαν EH, Mack. – γλῶτταν vulg. – ἐν τοῖσι FGIJ, Lind. – τὸ θ. – τὸ om. vulg. — [8] αἷμα om (H, restit. al. manu) θ. – ἐκ pro ἀπὸ EK. – ῥοφῆν G, Ald., Frob. – πτισσ. E. – λεπτὸν om. θ. — [9] ἀνῇ θ. – περικαθῆραι θ. — [10] ν. ἴ. om. θ. – νοῦσος om. EIJK. – ἴκτερος δ' ὅτοιος (sic) δ' ἔστιν ὀξὺς θ. – ἐστὶν om. J. – ὁ om. EHK, Lind., Mack. – ὀξύς τε EHK. – ταχέως vulg. – ταχέος GI, Ald., Frob. – τάχεος EHK. — [11] δὲ ὅλη Lind. – ἐστι (addit δὲ Lind.) χλ. οἵη (οἷοι

lui parle, soit qu'il fasse quelque chose; il gît la bouche ouverte, et salivant. Avec ces accidents le malade meurt le cinquième jour, ou le septième ou le neuvième. Quand il manque quelqu'un de ces signes, cela montre que la maladie est moins sévère, et on la nomme paracynanche. On saignera, surtout sous la mamelle; par cette voie en effet un souffle chaud sort du poumon avec le sang. Il faut aussi évacuer par le bas à l'aide d'un évacuant ou d'un clystère. On introduira les canules dans la gorge le long des mâchoires, afin que l'air soit attiré dans le poumon. On fera cracher le malade aussitôt que possible; on atténuera le poumon. On fera une fumigation avec l'hysope de Cilicie, le soufre et l'asphalte; il attirera cette fumigation par les canules et par les narines afin que du phlegme sorte. On enduira la gorge et la langue avec des phlegmagogues. On ouvrira les veines sublinguales; on tirera aussi du sang au pli du bras si les forces sont bonnes. Le malade s'abstiendra de vin, et, pour potage, usera d'une décoction d'orge légère. Quand la maladie a cédé et qu'il commence à manger, on le purgera avec de l'élatérion récent, afin qu'il ne retombe pas dans une autre maladie.

11. (*Ictère.*) Ictère : l'ictère aigu et tuant rapidement est tel : couleur tout à fait semblable à celle d'une grenade, ou plus verte et telle que celle des lézards verts. L'intérieur est de même couleur; et l'urine dépose un sédiment rougeâtre comme de l'ers. Il y a de la fièvre et des frissons légers; parfois le malade ne peut supporter sa couverture; il ressent des morsures et des piqûres. A jeun, le matin, il éprouve généralement des déchirements dans les viscères; et, quand on l'éveille ou qu'on

Mack; ἢ HK; ἡ E) οἱ (οἱ om. K) vulg. - J'ajoute ἢ avant χλωρ. - ὅμοιο; θ. — [12] ὠχρὸς pro ὁ χρὼς GJ, Ald. - καὶ ἐν τῷ L, Lind., Mack. - ἀφίσταται H. - ἐφίσταται E. - ἴσχει θ. - ἐπὶ τὸ πολὺ EHIJK. — [13] ἀναστήσῃ EP'. - ἀναστῇ, al. manu ἐγείρῃ H. - ἀνιστῇ θ. - ἐγείρει J. - ἀνέχηται G, Ald. - ἐπὶ τὸ πουλὺ Lind. - ἡμερέων EHIJK, Mack. - ἡμερῶν vulg. - γίνεται om. θ. — [14] τε καὶ E, Mack. - σὺν.... τοῦτο om. θ. - συγκαρίων GJ. - συγκαρύων I. - θασσίων GJ, Ald., Frob. - θασίω E. - Post λεπ. addunt χυλῷ L, Lind. - ἀννίσου H. - ἀνήσου EK. - [καὶ] ἀνίσου Lind. - σεσημένου IJ, Lind.

τον σὺν καρύων θασίων λεπισθέντων καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσησμένου ἥμισυ, [1] πίνειν ὁλκῆς τριώβολον νῆστις, καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο, καὶ οἶνον παλαιὸν λεπτὸν, καὶ ῥοφήματα· ἀσιτέειν δὲ μή.

12. [2] Τέτανος· [3] οἱ τέτανοι ὅταν ἐπιλάβωσιν, αἱ γένυες πεπήγασιν ὡς ξύλα, καὶ τὸ στόμα διοίγειν οὐ δύνανται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἰλλαίνονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύνανται συνάγειν, ὁμοίως [4] οὐδὲ τὼ χεῖρε, καὶ τὸ πρόσωπον ἐρεύθει, καὶ σφόδρα ὀδυνᾶται, καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν καὶ [5] τὸ πόμα καὶ τὸ ῥόφημα καὶ τὸ φλέγμα. Οὗτος τριταῖος ἢ πεμπταῖος ἢ ἑβδομαῖος ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται· ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. Τούτῳ διδόναι [6] καταπότια, πέπερι καὶ ἐλλέβορον μέλανα, καὶ ζωμὸν ὀρνιθείων πίονα θερμὸν, καὶ πταρμοὺς ἰσχυροὺς καὶ [7] πολλοὺς ἐμποιέειν, καὶ πυριᾷν· ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, μάλιστα [8] δὲ πρὸς τὰ ὀδυνώδεα, καὶ ἀλείφειν θερμῷ καὶ πολλῷ καὶ πολλάκις.

13. [9] Ὀπισθότονος· ὅταν δὲ ὀπισθότονος ἴσχῃ, τὰ μὲν ἄλλα ὡς ἐπιτοπολὺ τὰ αὐτὰ, σπᾶται δὲ ἐς τοὔπισθεν, καὶ βοᾷ ἐνίοτε, καὶ ὀδύναι ἴσχουσιν ἰσχυραὶ, καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα οὐδὲ τὰς χεῖρας ἐκτεῖναι· [10] ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες γίνονται, καὶ τοὺς δακτύλους πὺξ ἔχει, καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπιτοπουλὺ, [11] καὶ φλυηρέει ἐνίοτε, καὶ οὐ δύναται ἑωυτὸν κατέχειν, ἀλλ' ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ· [12] ὅταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει· ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι

[1] Πίνειν [δὲ] Lind. – τριώβολον I. – τριόβολον vulg. — [2] τέτανοι E. – τέτανος om. θ. – περὶ τετάνων L. — [3] οἱ δὲ τέτανοι θ. – Addunt ἦν ante ὅταν G, Ald. – ἦν pro ὅταν EHIKθ. – αἱ EHKθ, Lind., Mack. – οἱ pro αἱ vulg. – γέννυες G (H, al. manu) IJK. – ξύλιναι θ. – καὶ τὸ στόμα διαίρειν· καὶ τοὺς ὀφθαλμοὺς δακρύοντες ἅμα ἰλλαίνονται θ. – δύναται GIJ. — [4] δὲ pro οὐδὲ J. – τὰς χεῖρας θ. – ἐρεύθει καὶ om. θ. – ἀνοιδέει pro ἀνεμέει FGIJ. — [5] τὸ om. θ. – ῥύφημα EGHIJK, Ald. — [6] κατάπομα E (H, al. manu καταπότια) P'Q'θ, Lind., Mack. — [7] πολλὰ EK. – ὁπόταν HK. – ὑγρὰ προστιθέναι E. — [8] δὲ om. θ. – ὀδυνώδεα EHKQ'θ, Lind. – ὀδυνώμενα vulg. — [9] ὀπ. om. θ. – περὶ ὀπισθοτόνου L. – ὁ pro ὅταν θ. – ἴσχῃ om. (H, restit. al. manu) θ. – ἴσχει JK. – ἐπὶ τὸ πουλὺ Lind. – ταυτὰ Lind. – ὡσαύτως pro τὰ αὐτὰ θ. – ἐς E. – εἰς vulg. — [10] σ. EHK. – ξυγκεκαυμένοι G (I, σ) JL. – τείνονται pro γίνονται GIJKL. – ἐπὶ τὸ πολὺ EHI. — [11] καὶ βοᾷ (κ. β. om.

lui parle, il s'irrite. Un tel malade succombe d'ordinaire en quatorze jours; passant ce terme, il guérit. Il prendra des bains chauds; il boira du mélicrat avec noix de Thasos (*avelines*) pelées et feuilles d'absinthe, quantité égale, moitié d'anis criblé; il prendra de ce mélicrat la dose de trois oboles (*obole*$=0^{gr},54$) à jeun, et derechef en se couchant. Il boira un vin vieux léger et usera de potages. Il ne s'abstiendra pas d'aliments.

12. (*Tétanos.*) Tétanos : quand le tétanos se déclare, les mâchoires deviennent rigides comme du bois, la bouche ne peut s'ouvrir, les yeux larmoyent et ont du strabisme; le dos est rigide; les jambes ni les bras ne peuvent être rapprochés; le visage est rouge. Le malade souffre beaucoup; et, quand il est sur le point de mourir, il rejette par les narines la boisson, le potage et le phlegme. Il meurt le troisième jour ou le cinquième ou le septième ou le quatorzième. Passant ce terme, il guérit. A ce malade on donnera des pilules de poivre et d'hellébore noir dans du bouillon gras et chaud de volaille; on provoquera des éternuements forts et répétés; on prescrira des bains de vapeurs. Quand on ne donne pas de bains de vapeurs, on fera des applications chaudes, humides et grasses en des vessies et en des outres sur tous les points du corps, mais particulièrement sur les points douloureux. On fera des onctions chaudes et abondantes à plusieurs reprises.

13. (*Opisthotonos.*) Opisthotonos : quand il y a opisthotonos, les accidents sont à peu près les mêmes, mais le spasme est en arrière; le malade crie parfois; il est en proie à de violentes douleurs; et parfois le spasme ne lui permet ni de rapprocher les jambes ni d'étendre les bras; car les avant-bras sont pliés, le poing est fermé de telle sorte qu'en général le pouce est serré par les autres doigts. Il délire parfois; il ne peut se contenir, il se lance quand la douleur est pressante; mais, quand la douleur se relâche, il se tient en repos. Parfois encore, dès le début, il perd la parole ou est saisi d'un

FGIL) καὶ φλυαρέει (φλυαρεῖ E; φλυηρέει θ) vulg. – ἀλλὰ JK. — [12] ὅτε δὲ ἀνίησιν θ.

[1] ἢ μανικοί τε καὶ μελαγχολικοί. Οὗτοι τριταῖοι ἀποθνήσκουσι τῆς φωνῆς λυθείσης καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν· εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. Θεραπεύειν δὲ ὡς τὸν ἄνω. Ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν· ὕδωρ ὡς πλεῖστον ψυχρὸν καταχέας, [2] ἔπειτα ἱμάτια λεπτὰ καὶ καθαρὰ καὶ θερμὰ ἐπιβάλλειν, πῦρ δὲ τότε μὴ προσφέρειν. Οὕτω χρὴ ποιέειν καὶ τοὺς τετάνους καὶ τοὺς ὀπισθοτόνους.

14. [3] Εἰλεοί· εἰλεοὶ δὲ γίνονται [4] τῆς μὲν ἄνω κοιλίης θερμαινομένης, τῆς δὲ κάτω ψυχομένης· [5] ξυναυαίνεται γὰρ τὸ ἔντερον, [6] καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι, καὶ ἐμέειν ἐνίοτε, πρῶτον μὲν φλεγματώδεα, ἔπειτα [7] δὲ χολώδεα, τελευτῶν δὲ κόπρον· καὶ δίψαν ἔχει, καὶ ὀδύνη [8] ἔχει μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια, ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα, καὶ πεφύσηται, καὶ λύζει, καὶ πυρετοὶ ἐπιλαμβάνουσιν. [9] Γίνεται δὲ μάλιστα μετοπώρου· ἀποθνήσκει δὲ μάλιστα ἑβδομαῖος. [10] Τούτους ὧδε χρὴ θεραπεύειν· καθᾶραι τὴν ἄνω κοιλίην ὡς τάχιστα, καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη [11] θερμαινομένη, καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν πλὴν τῆς καρδίης· τὰ δὲ κάτω θερμαίνειν ἐν σκάφῃ ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον καὶ ἀλείφων αἰεὶ, καὶ χλιάσματα ὑγρὰ προστιθέναι· καὶ βάλανον μέλιτος [12] μόνου ποιέων ὡς δεκαδάκτυλον, ἐξ ἄκρου χολὴν ταύρου [13] ἐς τὸ πρόσθεν ἐπιπλάσσων, πρόσθες καὶ δὶς καὶ τρὶς, ἕως πάντα τὰ [14] ξυγκεκαυμένα περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. Κὴν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τού-

[1] Οἳ pro ἢ K. – ἡ pro καὶ θ. – ἀποθνήσκουσι θ. – θνήσκουσι vulg. – ῥινῶν· καὶ οὗτοι τὰς τεσσαρεσκαίδεκα φυγόντες EHKQ'. – ῥινῶν καὶ οὐάτων τὰς δὲ τέσσαρες καίδεκα (sic) διαφυγὼν ὑγιὴς sine γίνονται θ. — [2] ἐπὶ τὰ ἱμάτια θερμὰ καὶ καθαρὰ καὶ πολλὰ καὶ λεπτὰ ἐπιβάλλειν θ. – τότε om. θ. – οὕτως vulg. – οὕτω E. – ὧδε καὶ τοὺς τετάνους καὶ τοὺς ὀπισθοτόνους ποιέειν (H, al. manu vulgata lectione restituta) (θ, τετανίκους, ὀπισθοτονίκους). – ποιέειν post ὀπισθοτόνους E. — [3] εἰ. om. θ. – περὶ εἰλεῶν EK. – δὲ om., restit. al. manu H. — [4] τῆς ἄνω κοιλίης θερμ. καὶ τῆς κάτω θ. — [5] σ. EHIJ. – συναυένεται K. — [6] καὶ ξ. ὑ. τ. φλ. om. θ. – συμπ. EHIJK. – πρῶτα FGIJ. – μετὰ pro μὲν Mack. — [7] δὲ om. Jθ. – ὀδύνην vulg. – ὀδύνη Eθ. — [8] ἔχει θ. – ἔχει om. vulg. – πρὸς (H, al. manu περὶ) θ. – ὅλην pro πᾶσαν θ. – καὶ πεφ. καὶ λύζει om. θ. — [9] γίνεται δὲ μάλιστα μεθοπώρου (sic)· ἀποθνήσκει δὲ μάλιστα ἑβδομαῖος θ. – γίνονται δὲ μάλιστα ἑβδομαῖοι pro γίνεται.... ἑβδομαῖος vulg. — [10] τοῦτον θ. – χρὴ om. θ. – καθάραι I. – καθῆραι Mack. — [11] θερμαίνουσα θ. –

transport maniaque ou mélancolique. En de tels cas on meurt le troisième jour, la voix se déliant (Coaque, 355), et on rejette par les narines; mais, si l'on dépasse quatorze jours, on guérit. Vous traiterez comme dans le cas précédent. Si vous voulez, vous pouvez encore employer ce procédé-ci : versez de l'eau froide en grande abondance, puis jetez des couvertures légères, propres et chaudes, et en ce moment n'approchez pas le feu (Aph. V, 21; de l'Usage des liquides, § 6). Voilà le traitement des tétanos et des opisthotonos.

14. (*Iléus; insufflation d'air dans les intestins.*) Iléus : l'iléus est produit par l'échauffement du ventre supérieur, tandis que l'inférieur est refroidi. En effet l'intestin est desséché et condensé par la phlegmasie, de sorte que ni l'air ni les aliments ne le traversent; le ventre est resserré, et il y a parfois des vomissements, d'abord de matières pituiteuses, puis bilieuses et finalement fécales. Le malade est altéré, il ressent de la douleur surtout aux hypochondres, mais aussi dans tout le ventre. Il est météorisé, il a le hoquet; des fièvres le saisissent. Cette maladie survient surtout en automne; elle tue d'ordinaire au septième jour. Voici le traitement : on évacuera par le haut aussitôt que possible; on tirera du sang de la tête et du pli du bras, afin que le ventre supérieur cesse de s'échauffer. On rafraîchira les parties au-dessus de la région phrénique excepté le cœur. On échauffera les parties au-dessous, en faisant asseoir le malade dans un baquet d'eau chaude, en l'oignant sans cesse, et en faisant des applications chaudes humides. On fera encore avec du miel seul un suppositoire long de dix doigts, on enduira l'extrémité avec de la bile de taureau; ce suppositoire sera introduit et deux et trois fois jusqu'à ce que tous les excréments calcinés dans le rectum soient expulsés. Si

σκάφει vulg. - σκάφη EHIJKLθ, Lind., Mack. - τὸν ἄνθρωπον om. (H, restit. al. manu) θ. - ἀλείφειν θ. - ἀεὶ vulg. - αἰεὶ θ. — [12] μόνου θ, Mack. - μόνον vulg. - ποιέειν Lind. - δέκα δακτύλων θ, Mack. - δὲ δάκτυλον pro δεκαδάκτυλον FGIJ. - ἄκρω Lind. — [13] ὡς pro ἐς θ. - ἐπιπάσσων EHK. - προσπλάσσων θ. - ὡς (ἕως K'θ, Mack) πάντα vulg. — [14] σ. EHIJK. - τῶν ἀρχ. GHIJ, Ald. - ἐξάγης H.

τοισιν· [1]ἢν δὲ μὴ, φῦσαν λαϐὼν χαλκευτικὴν, ἐσιέναι φῦσαν ἐς τὴν κοιλίην, ἵνα διαστήσῃς τήν τε κοιλίην καὶ τὴν τοῦ ἐντέρου σύστασιν· εἶτα πάλιν [2]ἐξελὼν τὴν φῦσαν κλύσαι εὐθύς· ἕτοιμον δ' ἔστω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν, ἀλλὰ [3]τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων· εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ κατέχων τὸ κλύσμα, καὶ ἢν δέξηται τὸ κλύσμα καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. Ἐν δὲ [4]τῷ πρόσθεν χρόνῳ μέλι τε ὡς κάλλιστον λειχέτω, καὶ οἶνον αὐτίτην πινέτω εὔζωρον. Ἢν δὲ τοῦ εἰλεοῦ ἀφέντος πυρετὸς [5]αὐτὸν ἐπιλάϐῃ, ἀνέλπιστος· ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα συναποκτείνειεν ἄν.

4. [1] Ἢν ἐν [2] πλεύμονι κιρσὸς ἐγγένηται, βὴξ ξηρὴ ἐπιλαμβάνει, καὶ ῥῖγος, καὶ πυρετὸς, κατ' ἀρχὰς μὲν τῆς νούσου πάνυ σφόδρα· ἔχει δὲ καὶ ὀρθοπνοίη, [3] καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη ἐνέστηκε, καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικρέμασθαι, καὶ οἴδημα κατέρχεται ἐς τὸ πρόσωπον καὶ ἐς τὰ στήθεα καὶ ἐς τοὺς πόδας· πολλάκις δὲ [4] καὶ ἐς τὴν κεφαλὴν ἐρείδει, καὶ ὑπὸ τῆς ὀδύνης, ὅταν ὁ πόνος ἔχῃ, οὐ δύναται ἀνορῆν· [5] τὸ δὲ σῶμα ὕπωχρον, καὶ αἱ φλέβες δι' αὐτοῦ διατείνουσιν ἢ φλόγιαι ἢ μέλαιναι. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ καὶ ὁ πόνος μάλιστα [6] πιέζῃ, πρῶτον μὲν αἷμα ἀφαιρέειν· ἔπειτα λούειν πολλῷ καὶ θερμῷ, καὶ ὁκόταν δίψα ἔχῃ, πίνειν διδόναι κυκεῶνα ἐν οἴνῳ μέλανι αὐστηρῷ, ὡς [7] ἡδίστῳ, ἴσον ἴσῳ κεράσας· ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν· ῥοφήμασι χρέεσθαι πτισάνης χυλῷ καθέφθῳ, μέλι χρηστὸν παραχέας. Ταῦτα χρὴ προσφέρειν ἐν [8] τῇσι πρώτῃσι τῶν ἡμερέων [9] τῇσι τεσσαρεσκαίδεκα. Ἢν δὲ ἐπὶ πλεῖον ἡ νοῦσος ἔχῃ, ὅ τε πόνος πλείων [10] ᾖ ἐν τῷ σώματι καὶ ἀδυναμίη ἐνῇ, τούτῳ [11] δὴ οὕτως ἔχοντι ταὐτὰ προσφέρειν, ἃ καὶ ἐν τῷ πυοῤῥοοῦντι τὸν πλεύμονα, ὁκόταν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. [12] Αὕτη ἡ νοῦσος γίνεται ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης.

5. [13] Ὁκόταν τὰ κοῖλα φλέβια τὰ διέχοντα ἐν τῷ [14] πλεύμονι πλησθῇ αἵματος ἢ χολῆς μελαίνης, ξυῤῥήξῃ τε τὰ φλέβια ἐς ἄλληλα, ἅτε ἐν στενοῖσιν ἐόντα καὶ ἐπειλημμένα καὶ ἔξοδον οὐκ ἔχοντα, ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ [15] πλεύμονι. Αὕτη ἡ νοῦσος χαλεπὴ καὶ θερα-

[1] Ἐὰν ἐν πνεύμονι κιρσὸς ἐγγένηται G. – περὶ κιρσοῦ ἐν πνεύμονι K. — [2] πν. EGHJK. – νόσου vulg. – νούσου E. – σφόδρα om. θ. — [3] καὶ ἐν τῇ κεφαλῇ ἐνέστηκε vulg. – καὶ [ὀδύνη] ἐν τῇ κ. ἐνέστ. Lind. – καὶ ἐν τῇ κ. ἡ ὀδύνη ἐνέστ. θ, Mack. – ἐπικρέμμασθαι GIJ. – οἰδήματα al. manu H. — [4] καὶ om. J. – ἐπὶ E (H, al. manu ἐς) Q'. — [5] τό τε vulg. – τὸ δὲ Eθ, Mack. – ὕπωχρος vulg. – ὕπωχρον θ, Mack. – In marg. eadem manu γέγρ. καὶ ὑποχόνδριον H. – δι' om. θ, Mack. – τείνουσιν vulg. – διατείνουσιν θ, Mack. – φλογιαὶ Lind., Mack. – Gal. Gl. : φλεγεαὶ, ἐρυθραί. — [6] πιέζει EG (H, al. manu πιέζῃ) K, Ald. – πρῶτον.... μέλι χρηστὸν om. FGIJ. – ὁπόταν E. — [7] ἥδιστα (E, al. manu ἡδύστω) L. – μίξας pro κεράσας θ. – πτισσ. E. – κακέφθω (sic), al. manu θέ E. – κατέφθῳ Ald. – χρηστὸν om. θ. — [8] τῇσι om. θ, Mack. — [9] τῇσι om., al. manu ταῖς H. – ταῖς EGIJK. – δὲ om., restit. al. manu H. — [10] ᾖ om. (H, al. manu ἐστὶν) θ. – ἐστὶν pro ᾖ EFGIJK, Ald. – καὶ ἡ ἀδυναμίη sine ἐνῇ θ. — [11] δὲ EGIJK, Ald. – δὴ om. Hθ. – οὕτως om., restit. al. manu H. – ταῦτα vulg. – ταυτὰ Mack. – τὰ pro ἐν Ald. – πυοῦντι vulg. – πύω,

pus se manifeste le mieux, une incision ou une cautérisation, et évacuez du liquide, en petite quantité d'abord. Du reste, on fera tout ce qui est écrit pour le précédent empyème.

4. (*Affection indéterminée du poumon. Comp.* Des Maladies, livre premier, § 14. *Un auteur italien*, t. VI, p. 139, *a pensé qu'il s'agissait des anévrysmes internes de la poitrine.*) Si dans le poumon se forme une varice, il survient une toux sèche, du frisson, de la fièvre, qui est très-intense au début de la maladie. Il y a aussi de l'orthopnée. Une douleur se fixe dans la tête; les sourcils semblent pesants; du gonflement vient au visage, à la poitrine et aux pieds. Souvent le mal se fixe à la tête, et par la force de la douleur, quand elle presse, le malade n'y voit plus. Le corps est jaunâtre, et les veines s'y prolongent ou d'un rouge de feu ou noires. Quand il en est ainsi et que la souffrance est le plus intense, on commence par tirer du sang; puis on lave avec beaucoup d'eau chaude; s'il y a soif, on donne à boire un cycéon dans du vin noir, astringent, très-agréable, coupé de moitié d'eau. Il faut surtout boire froid. Pour potage le malade aura la décoction d'orge bien cuite, avec addition de bon miel. On fera ces prescriptions dans les quatorze premiers jours. Si la maladie se prolonge, si la souffrance augmente et qu'il y ait faiblesse, on traitera comme dans le cas du poumon purulent après les quatorze jours. Cette maladie est produite par la fatigue et par la bile noire.

5. (*Emphysème pulmonaire?*) Quand les veines creuses qui traversent le poumon sont remplies de sang ou de bile noire, et qu'elles font éruption l'une dans l'autre, étant en lieu étroit,

al. manu πυορροῦντι H. – πυορροοῦντι EKP'Q', Lind. – ἐμπύῳ θ. – πνεύμονα EGJK. – ὁκόταν.... παρέλθωσιν om., restit. al. manu E. — [12] αὕτη ἡ νοῦσος μάλιστα γίνεται ἀπὸ ταλαιπωρίης καὶ αἵματος καὶ χολῆς μελαίνης θ, Mack. — [13] ἄλλη νοῦσος GIQ', Lind. – φλεβία E. — [14] πν. EGHJK. – ξυνρήξηται τὰ vulg. – ξυρρήξεται τὰ θ, Mack. – συρίζητε τὰ P'. – ξυῤῥήξῃ τε τὰ Lind. – συρράξει τε τὰ HK. – συρίξῃ τὰ, al. manu ξυρρήξῃ τε τὰ E. – συνρήξῃ τε τὰ IJ. – στενοῖς K. – ἐπηλειμμένα G. – ἐπηλημμένα Ald. — [15] πν. EGJK. – θεραπητῆς E. – θεραπείης vulg. – θεραπείη γενομένη, al. manu θεραπείης δεομένη J. – δέεται EHK. – πουλλῆς G, Ald. – τὸν κάμν. om., restit. al. manu H. – ἀλλ' ὡς pro καὶ ὡς (H, al. manu) K. – συναπ. EHIJK.

πηΐης δεομένη πολλῆς· εἰ δὲ μὴ, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα, καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει.

6. [1] Ἦν [2] φλεγμονὴ ἐν πλεύμονι γένηται, γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης καὶ γαστριμαργίης ἰχθύων κεφάλων καὶ ἐγχελύων· ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν [3] τοῦ ἀνθρώπου· ἤδη δὲ τὸ νούσημα ἐγένετο ἀπὸ φλέγματος, ὁκόταν μιγὲν τῷ αἵματι ἐπιῤῥυῇ ἐπὶ τὸν πλεύμονα· προσπίπτει δὲ καὶ ἐκ κρεηφαγίης καὶ ἐξ ὕδατος μεταβολῆς. Τάδε οὖν πάσχει· βήσσει ἰσχυρῶς, καὶ τὸ σίαλον ἀποπτύει ὑγρὸν [4] καὶ πολλὸν, πολλάκις δὲ καὶ παχὺ καὶ λευκὸν, οἷον ἀπὸ βράγχου· καὶ ὀδύνη πιέζει ὀξείη ἐς τὰ στήθεα καὶ τὸ μετάφρενον καὶ τοὺς [5] κενεῶνας καὶ τὰ πλευρὰ, καὶ ἐρεύγεται ὀξὺ, καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων οἷον γαστὴρ τρυλλίζει, καὶ ἐμέει λάπην ὀξείην, καὶ τὸ ἔμεσμα ἢν ἐκχέῃς [6] χαμάζε, ζύει τὴν γῆν ὥσπερ ὄξος ἐπιχέοντι, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ ῥῖγος καὶ πυρετὸς καὶ δίψα ἔχει ἰσχυρὴ, καὶ ἤν τι θέλῃ λιπαρὸν φαγέειν, μύζει πρὸς τὰ σπλάγχνα καὶ ἔμετον ἄγει, καὶ τὸ σῶμα ἅπαν νάρκη ἔχει· ὁκόταν δὲ ἀπεμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥᾴων εἶναι· ἔπειτα ἐπειδὰν τῆς ἡμέρης ὀψίτερον γένηται, βρέμει ἡ κοιλίη καὶ στρέφει καὶ [7] βορβορύζει. Τοῦτον ὁκόταν οὕτως ἔχῃ καὶ δοκέῃ καιρὸς εἶναι, προσαίρειν ὧδε μελέτην· μίξας μέλι καὶ γάλα καὶ ὄξος καὶ ὕδωρ, ταῦτα ἐγχέας [8] ἐς χυτρίδα χλιαίνειν, καὶ ὀριγάνου κλωνίοισι τῆς κεφαλοειδέος ταράσσειν· [9] ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν, ἢ λαβόμενος τῆς γλώσσης, ἐγχέειν ἡσυχῇ διὰ σύριγγος· εἶτα κελεύειν συνειληθέντα ἡσυχίην ἔχειν· ἔπειτα ἢν ἔμετος [10] ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως· ἢν δὲ μὴ

[1] In tit. ἐὰν φλεγμονὴ ἐν πνεύμονι γένηται G. – περὶ φλεγμονῆς πνεύμονος K. – περὶ τοῦ γινομένου ἐρυσιπέλατος ἐν τῷ πλεύμονι καὶ πόθεν γένηται θ. – Gal., t. XVII, p. 430, cite ce chapitre sous le titre de péripneumonie. — [2] δ' ἐρυσίπελας pro φλεγμονὴ θ. – ἐν τῷ θ. – πν. GJK. – γαστρημαργίης I. – γαστρομαργίης J. — [3] τῶν ἀνθρώπων E (H, al. manu) K. – νόσ. EHK. – καὶ ἀπὸ θ, Lind., Mack. – πν. GJK. – κρεηφαγίης EHK. – κρεωφαγίης Lind., Mack. – κρεοφαγίης vulg. — [4] καὶ πολλὸν om. Lind. – βρόγχου Lind. — [5] κυκεῶνας E. – πν. GJK. – τρύζει θ, Mack. – τριλλίζει GJ. – ὀξύην J. – Ante ἢν addit καὶ obliter. al. manu H. — [6] χαμαὶ vulg. – χαμάζε θ, Mack. – ἐπιχέαντι θ. – αἱμοδιᾷ (H, al. manu μω) IJ, Ald., Frob. – θέλλῃ H. – ῥάον (sic) J. – ὀψέτερον E. – ὀψαίτερον P'Q', Lind., Mack. — [7] βορβορύζῃ G. – οὕτως ὁκόταν E. – καὶ.... προσαίρειν om. θ. – δοκέει GIJ. – μελετῆν Hθ, Mack. – μετᾶν (sic), al. manu μελετᾶν E. — [8] εἰς HIJK. — [9] ἔπειτα ὁκόταν χλιαρὸν ᾖ θ, Mack. – ἐκπιεῖν HK. – γλώττης vulg. – γλώσσης EHK, Mack. – συνειληθέντα

resserrées et n'ayant pas d'issue, il survient de la douleur et de l'air dans le poumon. Cette maladie est difficile et demande beaucoup de soins; si elle n'est pas bien soignée, elle ne quitte guère le malade, et d'ordinaire ne finit qu'avec lui.

6. (*Quoique la maladie suivante soit dite érysipèle du poumon, cependant c'est celle-ci qui répond à l'Érysipèle du poumon du* Deuxième livre des Maladies, § 55.) Si une phlegmasie se forme dans le poumon, elle est surtout causée par les excès de boire et par trop manger de certains poissons, tels que les céphales (*mugil cephalus*) et les anguilles, qui contiennent en effet la graisse la plus contraire à la constitution de l'homme. Le phlegme seul suffit à produire cette maladie, quand, mêlé au sang, il se jette sur le poumon. L'alimentation par la viande et le changement d'eau la produisent aussi. Voici les accidents : le patient tousse fortement, l'expectoration est aqueuse et abondante, parfois épaisse et blanche comme dans un rhume. Une douleur aiguë se fait sentir à la poitrine, au dos, aux flancs et aux côtes. Il a des rapports aigres; la poitrine et le poumon rendent un gargouillement comme le ventre; il vomit une pituite acide; la matière vomie, versée à terre, y fait effervescence comme le vinaigre et elle agace les dents. Il y a frisson, fièvre, soif intense. S'il mange quelque chose de gras, cela cause des gargouillements et provoque le vomissement; le corps tout entier est engourdi. Après le vomissement, le patient paraît être un peu plus à l'aise; puis, quand il arrive au soir, le ventre gargouille, a des tranchées et des borborygmes. Quand il en est ainsi et que l'occasion paraît favorable, on entame de la sorte le traitement : mêlez du miel, du lait, du vinaigre et de l'eau, versez dans un pot, chauffez, remuez avec des rameaux de l'origan à tête; quand le tout est chaud, faites boire, ou, prenant la langue, infusez (*voy. p.* 162) lentement par une canule : cela fait, recommandez l'insolation et le repos; si le vomissement sur-

EHKθ, Mack. – συνειλισθέντα vulg. — [10] ἐπίῃ, al. manu ἐπέλθῃ H. – ἔλθῃ θ. – ἐμείτω θ. – καταματτεύεσθαι θ, Mack.

ἐπέλθῃ, καταματτευόμενος πτερῷ [1]ἐμεέτω, καὶ ἤν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ [2]ποιεέτω· ῥάων γὰρ ἔσται οὕτω ποιῶν. Πινέτω δὲ ταῦτο γυμνασάμενος, ἢν οἷός τε ᾖ, καὶ λουσάμενος [3]πολλῷ θερμῷ· ἢν δὲ μὴ, ἀλλὰ λουσάμενος. Ὁκόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσιν, πρώϊος νῆστις πινέτω ἐν μελικρήτῳ [4]ἢ οἰνομέλιτι ὀπὸν σιλφίου ὁκόσον ὄροβον, καὶ σκόροδον τρωγέτω καὶ ῥαφανῖδας νῆστις, καὶ ἄκρητον οἶνον ἐπιῤῥοφανέτω μέλανα ἢ λευκὸν αὐστηρόν· πινέτω δὲ καὶ ἐπὶ σίτῳ καὶ μετὰ τὸ σῖτον· σιτίοισι δὲ ξηροῖσι καὶ κρέασιν [5]ὀνείοισιν ἢ κυνείοισι χρεέσθω ἑφθοῖσιν, ἢν τὸ ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. Οὗτος ἢν [6]μὲν ἀπὸ τοῦ τοιοῦδε ἐγχύματος καθαίρηταί τι· [7]ἢν δὲ μὴ, ἄνω αὐτὸν καθαίρειν ἐλλεβόρῳ· μετὰ δὲ τὴν κάθαρσιν ἀλεύρου ἑφθοῦ διδόναι δύο τρυβλία ἐκροφέειν μέλι παραχέας· οἶνον δὲ τὸν αὐτὸν πινέτω ὑδαρέα. [8]Ἢν δὲ μὴ κατ' ἀρχὰς παραγένῃ τῇ νούσῳ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον· οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη. Ἢν δὲ μὴ καυθῇ, [9]ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ' [10]ἕως γήραος προσέχει· πολλάκις δὲ καὶ συναποθνήσκει, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι τεσσαράκοντα ἀποθάνῃ· ἀλλὰ χρείη πολλῆς ὅτι μάλιστα μελεδώνης, καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην πινέτω βοὸς καὶ αἰγὸς καὶ ὀνείου καὶ ἱππείου· οὕτω γὰρ ἂν ῥήϊστα διάγοι· ἡ δὲ νοῦσος χαλεπή.

7. [11]Ἢν πλεύμων [12]ἀπὸ ἐρυσιπέλατος οἰδήσῃ, τόδε τὸ οἴδημα μάλιστα [13]ἀπὸ αἵματος γίνεται, ὅταν ἐς ἑωυτὸν ὁ πλεύμων ἑλκύσῃ αἷμα

[1] Ἐμείτω EGHIJK, Ald., (Frob. ἐμέτω). — [2] πιεέτω· ῥάον (sic) J. – τοῦτο pro οὕτω J. – οὕτω π. om. (H, restit. al. manu) θ. — [3] π. καὶ θ. EHK. – εἰ EH. — [4] ἢ om. (E, restit. al. manu) FGHIJK, Ald. – οἰνωμέλιτι E. – οἴνῳ μέλιτι FHIJK, Ald. – ὁποῦ vulg. – ὀπὸν EGHIJK, Ald. – ὅσον E. – ῥαφανίδας (ubique) EHIJK, Ald., Frob., Lind., Mack. – ἐπιρρυμφανέτω GK, Ald. – ἐπιρυμφανέτω FHJ. – ἐπιρυφανέτω E. — [5] ὀν. ἢ θ, Mack. – ὀν. ἢ om. vulg. – κυνίοισι H. — [6] μὲν θ, Mack. – μὲν om. vulg. – τοιοῦδε om., restit. al. manu H. – τε pro τι K. — [7] εἰ HK. – καθῆραι EHKP'Q', Lind., Mack. – ἐλεβ. Ald. – παρεγχέας EP'Q', Lind., Mack. — [8] εἰ EHK. – παραγένῃ θ, Mack. – παραγένηται vulg. – τὰ στήθεα.... νεφροῦ p. 455, l. 15 om. θ. — [9] σ. EHJK. – προσέχει, al. manu συμπαραμένει H. – καὶ οὐ μάλα, al. manu καὶ ἅμα H. – μα, al. manu μάλα E. — [10] ἐς τὸ γῆρας, al. manu ἕως γήρους H. – ξυναπ. Lind., Mack. – χρεία μελεδώνης μάλιστα καὶ, al. manu χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης καὶ H. – πολλὴ FGJ, Ald. – μελεδαίνης FGJ, Ald. – ἱππίου J. – ἂν om. J. — [11] ἐὰν vulg. – ἢν EHJK, Lind. – ὁ πλ. Lind., Mack. – πν. JK. — [12] ἐκ J. – ἐξ Lind. – τοῦτο τὸ EFG (H, al. manu) JKP'. – τὸ [μὲν] οἴδημα sine τόδε

vient, que le malade s'y laisse aller hardiment; sinon, on le provoquera en chatouillant la gorge avec une plume. Rejette-t-il un peu de pituite? il recommencera pendant cinq jours; car cela le soulagera. Il prendra ce remède après avoir fait de l'exercice, s'il est en état, et après s'être lavé avec beaucoup d'eau chaude. S'il n'est pas en état, qu'il se soit du moins lavé avec l'eau chaude. Les cinq jours étant passés, il boira, le matin à jeun, dans du mélicrat ou de l'œnomiel, gros comme un grain d'ers de suc de silphion; il mangera de l'ail et des raiforts à jeun; par-dessus il prendra pur un vin noir ou blanc, astringent. Il boira aussi en mangeant et après. Il usera d'aliments de qualité sèche, viandes d'âne et de chien bouillies, si le frisson et la fièvre ne le saisissent pas. Si après une pareille infusion il y a quelque mondification, cela est bien; sinon, on l'évacuera par le haut avec l'hellébore. Après l'évacuation on lui donnera deux oxybaphes (*oxybaphe* = 0litre,68) de farine cuite avec addition de miel. Il boira le même vin coupé d'eau. Si vous n'êtes pas appelé dès le début de la maladie, faites prendre au malade de l'embonpoint avec le lait, et cautérisez la poitrine et le dos; c'est de cette façon surtout qu'il sera délivré de la maladie. Si on ne cautérise pas, elle persiste sans grande chance de terminaison, et dure jusqu'à la vieillesse; souvent même, au cas où le malade ne succombe pas dans les quarante premiers jours, elle ne se prolonge que pour l'enlever plus tard. Les plus grands soins sont nécessaires; et, dans la saison, le malade boira du petit lait et du lait de vache, de chèvre, d'ânesse et de jument; c'est de cette façon qu'il ira le mieux. Mais la maladie est difficile.

7. (*Ceci, quoiqu'il soit question de l'érysipèle du poumon, répond au Poumon rempli du* Deuxième livre des Maladies, § 58, *et au Poumon se gonflant par la chaleur du* Troisième livre des Maladies, § 7.) Si le poumon se gonfle par l'érysipèle, ce gonflement provient surtout du sang, quand le pou-

Lind. – τὸ δὲ τὸ Ald. – τόδε τὸ om. Q'. — [12] ἀπὸ τοῦ αἵμ. E. – πν GJK. – νόσ. EHK.

καὶ ἔχῃ ἀναλαβών· τὸ δὲ νούσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται. Τάδε οὖν ἀπ' αὐτοῦ πάσχει· βὴξ [1] ἐμπίπτει ξηρὴ, καὶ ῥῖγος, καὶ πυρετὸς, καὶ ὀρθοπνοίη, καὶ ὁ πόνος ἰσχυρὸς ἐν [2] τοῖσι στήθεσι, καὶ τὰς ῥῖνας ἀνοίγει ὡς ἵππος δραμὼν, καὶ τὴν γλῶσσαν ἐξίσχει ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος [3] τοῦ ἐν τῷ καύματι καιόμενος, καὶ οἴδημα κατέχει τὰ στήθεα, καὶ [4] φθέγγεται βραχέως, καὶ ἐρύθημα καὶ κνησμὸν τῷ σώματι φέρει, καὶ ὑπὸ [5] τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ' αὐτὸς [6] ἑωυτὸν ῥίπτει ἀλύων. Οὗτος ἐν ἑπτὰ ἡμέρῃσι θνήσκει [7] μάλιστα· ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, ἰῆσθαι [8] ἐν τούτοισι· ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ βάπτων σεῦτλα καὶ τῷ σώματι ἐπιτιθεὶς, μάλιστα πρὸς πόνον νέον, ἢ ῥάκια βάπτων ἐν [9] ψυχρῷ ὕδατι καὶ ἐκθλίβων προστιθέναι. Κἢν μὲν οὕτω ῥηΐσῃ· ἢν [10] δὲ μὴ, κεραμικῇ γῇ ψυχρῇ καταπλάσσειν, καὶ ἐν τῇ αἰθρίῃ κοιμάσθω. Οὕτω γὰρ [11] ἂν μελετώμενος πολλάκις ἂν φύγοι τὰς ἑπτὰ ἡμέρας. Ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ ἡ ὀδύνη [12] προσέχῃ, χρίων ἐν ἐλαίῳ τὸ πονέον μέρος ἔσο, καὶ χλιάσματα μάλιστα προστίθει τὰ αὐτὰ, ἃ [13] καὶ τῇ πλευρίτιδι, καὶ πῖσαι αὐτὸν ἐς ὑποκάθαρσιν τῷ τοῦ πεπλίου καὶ τῆς μηκωνίδος καὶ τοῦ κόκκου τοῦ κνιδίου, καὶ μετὰ τὴν κάθαρσιν φακῆς τρυβλίον δοῦναι ῥοφῆσαι, πινέτω [14] δὲ ὕδωρ. Τῇ δὲ ὑστεραίῃ λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ πλὴν τῆς κεφαλῆς· ἔπειτα πῖσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας· ποτοῖσι δὲ ὡς θερμοτάτοισι χρεέσθω· σιτία δὲ προσφερέσθω τὰ αὐτὰ ταῦτα, ἃ καὶ [15] ὁ ὑπὸ τῆς πλευρίτιδος ἑαλω-

[1] Ξηρὴ ἐμπ. EHK. — [2] τῆσι H. – πῖναι (sic), al. manu ἀνοίγει H. – γλῶσσαν HK, Mack. – γλῶτταν vulg. – ἐξίσχει E (H, al. manu ἐξαίρει) P'Q'. – ἐξαίρει vulg. – ἐξεράει Lind. — [3] τοῦ ἐν τῷ κ. κ. om., in marg. eadem manu γέγρ. καὶ ὑπὸ καύματι, al. manu τοῦ ἐν τῷ καύματι καιόμενος H. – τὰ στήθεα κατέχει EHK. — [4] φλέγεται Martinus ex Asulano codice, Mack. – βραδέως E. – καὶ ἐρύθημα ἐν τῇ ὄψει (ἐν τῇ ὄψει om., restit. al. manu H) καὶ κνησμὸν φέρει ἐν (ἐν om. GIJ) τῷ σώματι (ἐν τῷ σώματι φέρει EHK) vulg. — [5] τοῦ om., restit. al. manu H. — [6] ἑαυτὸν EIJ. – αὐτὸν, al. manu ἑαυτὸν H. – ῥύπτει JK. – θνήσκει ἐν ἑπτὰ ἡμ. EHK. — [7] μάλιστα· ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει. Τοῦτον EHKP'Q', (Lind., Mack, qui habent Τοῦτον καταρχάς). – πλὴν καταρχὰς pro μάλιστα.... τοῦτον vulg. — [8] ἐν τούτοισι [δὲ] Lind. – ψύχειν μὲν τὸ σῶμα om. K. – μὲν om., restit. al. manu H. – ἐν ὕδ. ψ. β. ponitur post σεῦτλα H. – τεῦτλα EHIJK. – τεῦτλα προστίθεται μάλιστα πρὸς πόνον νέον τῷ σώματι, deletis καὶ τῷ σώματι ἐπιτιθεὶς μάλιστα πρὸς πόνον νέον P'Q'. – προστιθέναι μάλιστα pro καὶ τῷ σ. ἐπ. μάλιστα EHK. – Post νέον addit μάλιστα, mut. al. manu in τῷ σώματι H. – Post νέον ad-

mon attire du sang à soi et, l'ayant pris, le retient. Cette maladie naît surtout en été. En voici les accidents : toux sèche, frisson, fièvre, orthopnée, douleur intense dans la poitrine. Le patient ouvre les narines comme un cheval qui court; il tire la langue comme un chien qui, en été, est brûlé par la chaleur de l'air; il a du gonflement à la poitrine; il parle à peine; le corps est rouge et démange; la souffrance l'empêchant de rester en repos, il est en proie à la jactitation. Ce malade succombe d'ordinaire en sept jours; s'il passe ce terme, il n'est plus guère exposé. Les choses étant ainsi, on le traitera de cette façon : rafraîchir le corps, en appliquant des bettes trempées dans l'eau froide, surtout quand la douleur est récente, ou des linges mouillés avec l'eau froide et exprimés. Si l'état s'améliore par ces moyens, cela est bien; sinon, on appliquera la terre de potier froide, et le malade dormira à l'air. Traité de cette manière, il arrive souvent qu'un malade aille au delà des sept jours. Ce terme passé, et la douleur persistant, oignez d'huile la partie douloureuse, et faites en somme les mêmes applications que pour la pleurésie. Il prendra, pour une purgation modérée, le peplion (*euphorbia peplis*, L.), la meconis (*euphorbia retusa*, L.), et le grain de Gnide (*daphne Gnidium*, L.); après l'évacuation, il avalera un oxybaphe de bouillie de lentilles. Il boira de l'eau. Le lendemain on le lavera avec beaucoup d'eau chaude, excepté la tête; puis il prendra de l'origan macéré dans le mélicrat. Ses boissons seront aussi chaudes que possible. Ses aliments seront les mêmes

dunt τῷ σώματι EK. — [9] ὕδατι ψυχρῷ EHK. — [10] εἰ EHIJ. – ἐθρίῃ, al. manu αἰ H. — [11] Post ἂν addunt μάλιστα EH. – μελεδώμενος vulg. – μελεδαινόμενος P'. – μελετώμενος EGHIJK, Ald. – πολλ. om. HK. – φύγῃ FGIJ, Ald., Frob. – ἐκφύγῃ Lind., Mack. – φύγοι ἂν K. — [12] προέχῃ K. – χρίειν (χρίων ἐν EFGIJK, Ald.) ἐλαίῳ τὸ π. μ. ἔσω (εἴσω Mack; ἔσο E, H al. manu, IJK) vulg. – χλιάσματι J. – μάλιστα om., restit. al. manu H. – προστιθέναι EHK. — [13] καὶ om. FGJ. – Ante πῖσαι addit τῶδε H. – πῖσαι E. – πίσαι vulg. – ὕποχ., al. manu ἀπ H. – ἀποχ. K. – ἐν τῷ EGJK. – τῷ om., al. manu ἐν τῷ H. – μηκωνίδος EHKK', Lind., Mack. – μηκονίδος vulg. – ῥυφῆσαι G, Ald. — [14] δ' EHK. – πίσαι vulg. – πῖσαι E. – ταὐτὰ pro τὰ αὐτὰ ταῦτα Lind. — [15] ὁ om. FGI.

κῶς, ἢν μὴ πυρετὸς προσίσχῃ. Αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ παῦροι ἐκφυγγάνουσιν.

8. Ἢν [1] τὸ στῆθος καὶ [2] τὸ μετάφρενον ἀναῤῥαγῇ, ἀναῤῥήγνυται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης· [3] τάδε οὖν πάσχει. Βὴξ ἴσχει ὀξείη, καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλὰ, [4] καὶ ἐν τῷ στήθεϊ καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξείη ἔνεστι, καὶ ἐν τῷ πλευρῷ δοκέει οἷον λίθος ἐγκέεσθαι, καὶ [5] κεντέεται ὑπὸ τῆς ὀδύνης διαμπερέως, ὡς εἰ βελόνη τις κεντοίη. Τοῦτον ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα γάλακτι [6] πιήνας καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον, καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. Τὸ δὲ λοιπὸν ἡσυχάζων τῷ σώματι μάλιστα [7] διαιτῆσθαι· ἢν γάρ τι πονήσῃ ἢ ἐπὶ ἅμαξαν ἀναβὰς ἢ ἐφ' ἵππον, ἢ τοῖσιν ὤμοισιν ἐν ἄχθεϊ αὐτὸς ταλαιπωρήσῃ, κινδονεύσει πάλιν ὑποτροπιάσαι ἡ νοῦσος, καὶ, ἢν [8] γένηται, κίνδυνος διαφθαρῆναι· τὸ γὰρ νούσημα ὑποστραφὲν μᾶλλον πιέζει ἢ καταρχάς. Ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν [9] αὐτὸν ἰῆσθαι οἷσι καὶ τὸν ἔμπυον, ῥοφήμασι καὶ ποτήμασι καὶ σιτίοισι· τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα εὐωχέειν τοῖσιν ἐπιτηδείοισιν· ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπή.

9. [10] Ἢν ἐν πλευρῷ φῦμα φύηται [11] καὶ ἔμπυος γένηται, τάδε πάσχει· ῥῖγος ἴσχει καὶ πυρετὸς, καὶ βὴξ ξηρὴ πολλὰς ἡμέρας, καὶ ἀλγέει τὸ πλευρὸν, καὶ ἐς τὸν τιτθὸν καὶ ἐς τὴν κληῗδα καὶ ἐς τὰς ὠμοπλάτας ὀδύνη ἴσχει ἀΐσσουσα. Οὗτος ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσιν [12] ἕνδεκα ῥοφήμασι χρεέσθω, πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέων, ὁκόταν ἑφθὸν τὸ [13] ῥόφημα ᾖ· οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκεῖ ἢ αὐστηρῷ καὶ ὑδαρεῖ, καὶ [14] ῥοφάνοντα πλεονάκις

[1] Τὸ om. H. — [2] τὸ om. H. – ῥήγνυται, al. manu ἀνα H. – ἀπὸ, al. manu ὑπὸ H. — [3] καὶ (καὶ om. EHIJK) τάδε (addunt οὖν EHKP'Q') πάσχει vulg. — [4] καὶ om. E. – στήθεϊ G, Ald. – στήθει vulg. – ἐγκαίεσθαι J. — [5] κεντέεσθαι EFGHJK, Ald. – ὡσεὶ EK, Ald. — [6] πίζας (sic) K'. – πίνας (sic) P'. — [7] διαιτεῖσθαι J. – τις pro τι K. – ἀμάξας (sic) J. – ἢ τοῖς (τοῖσιν EHIJK, Lind.; τοῖς τ' Q') ὤμοισιν (ὤμ. om., restit. al. manu E) ἐν (ἐς pro ἐν K) ἄχθεϊ (ἐν ἄχθεϊ om., restit. al. manu H) (ἄχθει JP') (addunt αὐτὸς EHKP'; αὔτως Q') ταλ. vulg. – κινδυνεύσῃ H. — [8] ὑποτροπιάσῃ EHKP'Q'. – νόσ. EHK. – ὑποστραφὲν om., restit. al. manu H. – ὑποτραφὲν J. — [9] αὐτὸν om., restit. al. manu H. – οἷον pro οἷσι Lind. – ῥυφ. G, Ald. – σιτίοισι καὶ ποτοῖσι EHK. – ποτοῖσι F (G, supra lineam eadem manu) IJP'Q', Lind., Mack. – σύμπαν EHIJK. — [10] περὶ τοῦ ἐὰν ἐν πλευρῷ φύμα ᾖ ἔμπυον γένηται G. — [11] καὶ ἔμπ. γένηται om. Lind. – ἔμπυον FGKP', Mack. – ἴσχει post πυρετὸς EHK. –

que dans la pleurésie, à moins que la fièvre ne persiste. Cette maladie est difficile; et peu réchappent.

8. (*Ruptures dans la poitrine. Comp.* Des Maladies, livre deuxième, § 62.) Si la poitrine et le dos éprouvent une rupture, ce qui arrive surtout par un effort, voici les accidents : toux vive, expectoration parfois sanguinolente; frisson et fièvre d'ordinaire; douleur aiguë dans la poitrine et le dos. Il semble au malade qu'une pierre lui pèse sur le côté; les douleurs le traversent comme si on le piquait avec une aiguille. Les choses étant ainsi, on donnera de l'embonpoint avec le lait et aussitôt l'on cautérisera la poitrine et le dos. De cette façon il sera très-promptement guéri. Pour le reste, il suivra le régime en se tenant en repos le plus possible; car, s'il se donne quelque fatigue en allant soit en voiture soit à cheval, ou en portant lui-même un fardeau sur les épaules, la rechute est à craindre; et, en cas de rechute, la mort; en effet, dans la récidive, la maladie est plus grave que la première fois. Si on ne le cautérise pas, on le traitera par les mêmes moyens que l'empyème, potages, breuvages et aliments; en somme, gardant le repos, il fera bonne chère avec les substances convenables. Traité de la sorte, il guérira promptement; mais la maladie est difficile.

9. (*Tumeur dans le côté; comp.* Des Maladies, livre deuxième, § 60. *Épanchement de pus dans la cavité de la plèvre.*) Si une tumeur se forme dans le côté et qu'il y ait suppuration, voici les accidents : frisson et fièvre, toux sèche pendant plusieurs jours, douleur dans le côté, laquelle va par élancements à la mamelle, à la clavicule et aux omoplates. Les choses étant ainsi, le malade, les onze premiers jours, usera pour potage de la décoction d'orge très-cuite, à laquelle, quand elle sera cuite, on ajoutera du miel; il boira un vin blanc, doux ou astringent, coupé d'eau; on lui recommandera de boire souvent du vin et de cracher; on l'empêchera de dormir jusqu'à

πουλλὰς G, Ald., Frob. — [12] δέκα vulg. – ἕνδεκα EHKK'. – ῥυφ. GH, Ald. – πισσ. E. — [13] ῥύφ. G, Ald. – γλυκέϊ Lind. – ἢ (καὶ Cornar., Mack) ὑδαρεῖ vulg. — [14] ῥυμφάνοντα GHK, Ald. – ῥομφάνοντα (H, al. manu) J. – ῥυφάνοντα E.

τοῦ οἴνου ἐκπτύειν κελεύειν, καὶ τοῦ ὕπνου κωλύειν, ἔστ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσιν, μετὰ δὲ ταύτας τὰς ἡμέρας σιτίοισιν ὀλίγοισιν ὡς μάλιστα χρεέσθω, κρέασι [1]σκυλακείοισιν ἢ ἀλεκτρυονείοισι θερμοῖσι· ἐζωμεῦσθαι δὲ χρὴ καλῶς, καὶ τὸν ζωμὸν ῥοφανέτω, καὶ τοῖσι [2]ῥοφήμασι πρόσθεν χρεέσθω τοῦ σίτου, καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον γένηται τὸ πλευρόν. Πυΐσκεται δὲ μάλιστα ἐν [3]τεσσαράκοντα ἡμέρῃσιν ἢ ὀλίγῳ πρόσθεν· τούτῳ δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρὸν, πῦον γὰρ οὐκ ἀποπτύεται, [4]οὐδ' ἀνεμέεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημήνῃ τὸ οἴδημα, τάμνειν ἢ καίειν· ἔπειτα ἀφιέναι τὸ πῦον κατ' ὀλίγον, καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου, καὶ [5]αὖθις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύου· ἔπειτα μοτῶσαι, καὶ [6]αὖθις τῇ τρίτῃ καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι δὶς τῆς ἡμέρης ἀπαρύειν ἕως ἂν ξηρανθῇ. Διδόναι δὲ καὶ τὰ σιτία καὶ τὰ ὄψα, ὁκόταν προσίηται, καὶ πινέτω ὀλίγον, μὴ πολλὸν, [7]ἥν τε οἶνον ἥν τε ὕδωρ· τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς ὡς πλεῖστον, ἐς μέλι ἀποβάπτων· ἢν δὲ μὴ ἁπαλὴν ἔχῃ, ἀλλ' αὔην, λεπτὴν ποιήσας, ἐς τὸ μέλι μίξας, λείην διδόναι ὡς πλείστην, [8]καὶ τοῖσι λουτροῖσι λούειν, μηδὲ ῥιγούτω, καὶ μαλθακῶς κοιμάσθω. Οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα ποιήσαις· ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος, [9]τὸ θάλπος, τὸν ἥλιον, καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρεέσθω μετὰ τὸ σῖτον, ὅκως [10]ἂν μὴ κόπος λάβῃ τὸ σῶμα· ταῦτα ποιέων ὑγιὴς ἔσται. Τούτων τῶν νούσων [11]ἅστινας ἂν καύσῃς, ἐπὶ τὰ καύματα πράσα τρίψας πολλὰ καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν καὶ [12]καταλιμπάνειν μίην ἡμέρην.

10. [13]Τρεῖς δὲ εἰσὶ φθίσιες· πρώτη· αὕτη μὲν γίνεται ἀπὸ φλέ-

[1] Σκυλακίοισιν GHIJ. – ἀλεκτρυονίοισι vulg. – ἀλεκτρυονείοισι EK. – διαζωμεῦσθαι vulg. – ἐζωμέσθαι (sic) H. – διαζωμεύεσθαι K. – ἐζωμεῦσθαι E. – ἐκδιαζωμεῦσθαι Q', Lind., Mack. – ἐκζωμεῦσθαι P'. – δὲ om., restit. al. manu H. – ῥυμφανέτω EGHIJK, Ald. — [2] ῥυφ. G, Ald. — [3] ταράκοντα (sic), al. manu τετταράκοντα E. – ἢ om. EHK. – τοῦτο vulg. – τούτῳ K. – οὐ πτύεται EP'Q'. — [4] καὶ οὐχ, al. manu οὐδ' H. – ἀποσημαίνει E. – τὸ οἰδ. om., restit. al. manu H. — [5] αὖτις EH. – ὑστερέῃ J. – πύους vulg. – πύου EHK, Lind., Mack. — [6] αὖτις EH. — [7] καὶ οἶνον Q'. – ἤν τε καὶ ὕδωρ EP'. – ἐς τὸ μέλι τε (τε om. EHK) (ἔς τε τὸ μέλι Lind., Mack) μίξας vulg. – λίην J. — [8] καὶ μηδὲ (μὴ, al. manu μηδὲ H) ῥιγούτω, καὶ τοῖσι λουτροῖσι λούειν vulg. – καὶ τοῖσι λουτροῖσι λούειν, μηδὲ ῥιγούτω Lind. – La correction de Lind. est bonne; voy. p. 194, l. 24. – θεραπεύειν J. – τάχιστ' EHK. – ποιήσῃς E. – ποιήσεις P'Q',

ce que les onze jours soient passés. Après ce terme il prendra, autant que faire se pourra, peu d'aliments, des viandes de jeune chien ou de poulet chaudes; on en fera un bon bouillon, qu'il boira. Il prendra des potages avant le manger; il ne se laissera pas avoir soif, jusqu'à ce que la suppuration soit formée dans le côté. Elle se forme d'ordinaire en quarante jours ou peu auparavant; vous connaîtrez que du pus est dans le côté, à ce que le patient n'expectore ni ne vomit du pus. Les choses étant ainsi, il faut pratiquer, là où le gonflement se manifeste, l'incision ou la cautérisation; puis évacuer le pus peu à peu; après l'évacuation, mettre une tente de lin écru; le lendemain, ôter la tente, et derechef évacuer un peu de pus; puis remettre la tente, et derechef le surlendemain et les autres jours évacuer le pus deux fois dans la journée jusqu'à ce qu'il tarisse. On donnera les aliments de céréales, et les mets, quand le goût lui en viendra; il ne boira que peu, soit vin, soit eau. Il mangera autant qu'il pourra de l'origan frais, trempé dans du miel; si on n'a que de l'origan sec, on le pilera, on y mêlera du miel, et on en fera prendre autant que possible. Il prendra les bains; et on aura soin qu'il n'ait pas froid et qu'il soit couché mollement. En traitant ainsi la maladie, vous procurerez très-promptement la guérison; quand le malade est guéri, il se gardera du froid, du chaud, du soleil; il usera de quelques promenades après le manger, de façon à ne pas se donner de courbature; par ces moyens il guérira. Dans toutes ces maladies, quand vous cautériserez, mettez sur les brûlures beaucoup de porreaux aussitôt après l'ustion, et vous les y laisserez un jour.

10. (*Trois phthisies. Première phthisie.*) Trois phthisies : la

Lind., Mack. - φυλασέσθω H. — [9] Addunt καὶ E (H, al. manu) K. - τοῦ ἡλίου EHJKP'Q'. — [10] ἦν pro ἂν GIJK, Ald., Frob. - ἢν ποιέη pro ποιέων EHP'Q', Lind. — [11] οὕστινας FG. - ἢν pro ἂν GHIJK, Ald. - πουλλὰ G, Ald., Frob. — [12] ἐᾶν EHP'Q'. - μίαν EH. — [13] περὶ φθίσιος FG. - φθίσιες τρεῖς pro τρ. δὲ εἰσὶ φθ. EHIJK. - γὰρ pro δὲ FG. - πρώτη om. EFGHIJK. - [ἡ] πρώτη μὲν γίνεται ἀπὸ Lind. - ἐπὴν γὰρ P', Lind., Mack. - νοσήσῃ EH. - νουσήσῃ vulg. - θερμὴ al. manu H. - συσήπεται IJ.

γματος, ἐπὴν ἡ κεφαλὴ φλέγματος πλησθεῖσα νοσήσῃ καὶ θέρμη ἐγγένηται, συσσήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι ὥστε ὑποχωρῆσαι· ἔπειτα ὁκόταν παχυνθῇ, καὶ [1] συσσαπῇ, καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγένετο, [2] καὶ ὁ πλεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλικοῦ ἐόντος καὶ σαπροῦ. Τάδε οὖν πάσχει· πυρετὸς ἄρχεται, βληχρὸς ἐπιλαμβάνειν, καὶ ῥῖγος, καὶ πονέει τὰ στήθεα καὶ τὰ μετάφρενον· ἐνίοτε δὲ [3] καὶ βὴξ πιέζει ὀξείη, καὶ ἀποπτύει τὸ σίαλον πουλὺ καὶ ὑγρὸν καὶ ἁλμυρόν. Ταῦτα μὲν καταρχὰς τῆς νούσου πάσχει· προϊούσης δὲ τό τε [4] γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων· ταῦτα δὲ οἰδέει, καὶ οἱ πόδες, καὶ οἱ ὄνυχες ἕλκονται· ἐκ δὲ τῶν ὤμων λεπτὸς καὶ ἀσθενής· ὁ φάρυγξ [5] ὡς χνόου πίμπλαται, καὶ συρίζει ὡς διὰ καλάμου, καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς τοῦ νοσήματος, καὶ ἀκρασίη πολλὴ τὸ σῶμα ἔχει. Οὗτος ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθειρόμενος [6] φαύλως θνήσκει. Μελετᾷν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν· πρῶτον μὲν πῖσαι ἐλλέβορον, κάτω [7] δὲ ὑποκαθῆραι ἐπιθύμῳ ἢ πεπλίῳ ἢ [8] τῷ κόκκῳ τῷ κνιδίῳ ἢ τῇ τιθυμαλίδι· ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δὶς, κάτω δίς. Διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν ἢ βόειον ἢ αἴγειον· πινέτω [9] δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου [10] ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας, [11] ξυμπαραμίσγων καὶ τὸ ὀρίγανον· τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. Σιτία δὲ καὶ ὄψα διδόναι μήτε λιπαρὰ μήτε [12] κνισώδεα μήτε λίην δριμέα. Τεκμαιρόμενος [13] δὲ τὸ νούσημα ταῦτα ποιέειν δεῖ, καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία, τεκμαιρόμενος μὴ ῥιγώῃ· τοῦ δὲ χειμῶνος παρὰ πυρὶ τὴν οἴκησιν [14] ποιεέσθω. Οἶνον δὲ πινέτω, αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον, ὀλίγον δέ. Κὴν

[1] Συσαπῇ IJ. – φλεβία E. – πν. EGHJK. – ἐγγένηται pro ἐγένετο E. — [2] καὶ ὁκ. ὁ πν. EH. – πν. GJK. – ἀναλάβει J. – ἁλυκοῦ EGHIJK, Ald., Frob. — [3] καὶ EFGHIJK, Ald., Mack. – καὶ om. vulg. — [4] γύον IK. – γύιον H. – φάρυξ FIJ. – Remarquez ici φάρυγξ du masculin contre l'usage hippocratique. — [5] ὃς pro ὡς GJK. – ὡς om., restit. al. manu H. – χρόου FG. – χρόνου K', Ald. – διψεῖ K. – ἀκρασία E. – πούλλη FG, Ald., Frob. — [6] φαῦλος vulg. – φαύλος (sic) Ald. – φαύλως EGHJK, Lind. – μελετῆν Mack. – πίσαι vulg. – πῖσαι E. — [7] δ' EH. – ἢ τῷ π. EHQ'. — [8] τῷ om. Lind. – τῇ om. K. – τιθυμαλλίδι HIJK. – εἷς K. — [9] δὲ om. E. — [10] σ. IJK. – προσμίσγων EHP'Q'. — [11] σ. IJ. – παραμίσγων EH. – τὸν ὀρ. P'. – τὴν ὀρ. EHIJK. — [12] κνισσ. EGIJK, Ald., Frob., Lind., Mack. — [13] δὲ.... τεκμαιρόμενος om. J. – νόσ.

première est produite par le phlegme. Quand la tête remplie de phlegme devient malade et que de la chaleur se développe, le phlegme se corrompt dans la tête, attendu qu'il ne peut être mu de manière à cheminer; puis, quand il est épaissi et corrompu et que les veines sont remplies outre mesure, il se fait une fluxion sur le poumon; et le poumon, l'ayant reçue, s'affecte aussitôt, étant irrité par le phlegme, qui est salé et putride. Voici les accidents : il survient une fièvre sourde et du frisson; il y a douleur à la poitrine et au dos; parfois une toux aiguë accable le patient, qui rend une expectoration abondante, aqueuse et salée. Tels sont les accidents du début de la maladie; mais, avec le temps, le corps maigrit sauf les membres inférieurs, qui enflent ainsi que les pieds; les ongles se rétractent; les épaules deviennent minces et faibles; la gorge se remplit d'une espèce de duvet; elle siffle comme à travers un tuyau. La soif est vive durant toute la maladie; et le malade éprouve une impuissance générale. Les choses étant ainsi, il succombe misérablement à la consomption au bout d'un an. Il faut traiter avec le plus grand soin et restaurer. D'abord on fera boire l'hellébore; et par le bas on évacuera avec l'épithymum (*cuscuta epithymum*, L.), ou le peplium (*euphorbia peplis*, L.), ou le grain de Gnide, ou le tithymalle. On prescrira ces évacuants quatre fois par an, deux fois par le haut, deux fois par le bas. On donnera aussi pour l'évacuation le lait cuit d'ânesse, ou de vache, ou de chèvre. Il boira le lait cru de vache, avec addition d'un tiers de mélicrat et en y mêlant de l'origan, pendant quarante-cinq jours. On purgera auparavant la tête par l'application d'un errhin. Les aliments de céréales et les mets ne seront ni huileux, ni gras, ni trop âcres. Il faut prescrire tout cela en ayant l'œil sur la maladie. Il usera des promenades en proportion des aliments, et aura soin de ne pas prendre froid. En hiver il prendra son domicile près du feu. Il boira un vin astringent, noir, très-vieux et très-agréable,

EH. – πάντα, al. manu ταῦτα H. – χρὴ EHP'Q', Lind., Mack. — [14] ποιέεσθαι K.

δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω δοῦναι τὸ φάρμακον· ἢν δὲ μὴ [1] βούλῃ δοῦναι, πυριήσας, ἔμετον ἐκ τῶν σιτίων καταναγκάσαι ποιήσασθαι, ὡς τοπρόσθεν γέγραπται. Τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω· ἢν δὲ μὴ [2] ξυμφέρωσιν, [3] ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. Οὗτος οὕτω μελετώμενος ῥήϊστα ἂν διάγοι ἐν τῷ νουσήματι· ἡ δὲ νοῦσος θανασίμη, καὶ παῦροι ταύτην διαφυγγάνουσι.

11. [4] Φθίσις δευτέρα· γίνεται μὲν ἀπὸ ταλαιπωρίης· τὰ αὐτὰ δὲ πάσχει ὡς ἐπιτοπλεῖστον, ἃ καὶ ὁ πρόσθεν· ἡ δὲ νοῦσος διαπαύει αὕτη μᾶλλον [5] τῆς προτέρης, καὶ τοῦ θέρεος ἀνίησιν. Τὸ δὲ σίαλον ἀποπτύει, παχύτερον μὲν [6] τῆς πρόσθεν, καὶ βὴξ πιέζει μάλιστα τοὺς γεραιοὺς, καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι, καὶ δοκέει οἷόν περ [7] λίθος ἐν αὐτοῖσιν ἐγκέεσθαι· πονέει δὲ καὶ τὸ μετάφρενον· καὶ ἡ χροιὴ δίυδρος [8] αὐτέου ἐστὶ, καὶ ἤν τι πονήσῃ, φύσῃ καὶ ἆσθμα ἴσχει. Οὗτος ἐκ ταύτης τῆς νούσου ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει. Μελετᾷν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. Αὕτη ἡ νοῦσος προσέχει τοῖσι πολλοῖσι μέχρι τριῶν ἐτέων, ἀλλ' ἀποθνήσκουσιν· ἡ γὰρ νοῦσος χαλεπή.

12. [9] Φθίσις τρίτη· ὑπὸ ταύτης τάδε πάσχει· ὁ μυελὸς αὐτέου ὁ νωτιαῖος αἵματός τε καὶ χολῆς μεστὸς γίνεται. Φθίνει [10] δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν· αὗται δὲ φλέγματος ὑδρωποειδέος ἐμπίπλανται καὶ χολῆς. Πάσχουσι δὲ τὰ αὐτὰ, ἀφ' [11] ὁκοτέρων ἂν φθίνῃ, καὶ ὁ ἄνθρωπος εὐθὺς μέλας γίνεται καὶ ὑποιδαλέος, καὶ τὰ ὑπὸ τοὺς

[1] Βούλει K. – Post β. addit τὸ φάρμακον E. – Ante ἔμ. addunt οὕτω δὲ EH. – ἀπὸ pro ἐκ EH. – καταν. om. (E, restit. al. manu) H. — [2] σ. IJK. — [3] ἡσυχίην χρὴ ἔχειν EHP'Q', Lind. – μελεδαινόμενος P', Mack. – ῥήϊστ' EH. – διάγοιεν (διάγοιε sic E) (διάγοι ἐν Lind., Mack) τῷ vulg. – νοσ. EIK. – σώματι J, Calvus. – ταύτην om., restit. al. manu H. — [4] ἄλλη φθίσις EHI (JK, ἑτέρη). – γίνεται δὲ (μὲν EHK) vulg. – ταὐτὰ Lind. — [5] τῇ IJ, Ald. — [6] τῇ E. – πιέζῃ Ald. – ὀρόους (sic) (E, al. manu γεραιοὺς) FGHIJK, Ald. — [7] λίθον EFGJKP', Ald., Mack. – ἐν om. K. – δίυγρος vulg. – Gal. Gl. : δίυδρος, νοτηρὰ (sic) καὶ διυδροῦσα. – Gal. Gl. : δίεδρος, διαφανὴς, ἐν τῷ δευτέρῳ Περὶ νούσων μείζονι. – Au lieu de δίεδρος, Foes, à cause de la place alphabétique où est ce mot, conseille de lire δίαιθρος, mot qu'Hésychius explique par διαφανής. Schneider, dans son Dict. au mot δίυδρος, approuve cette correction, et pense qu'il faut lire dans notre passage δίυδρος ou δίαιθρος. — [8] αὐτοῦ E. – φύσει EGHIJK. – ἄσθμα J. – μελετῆν Lind., Mack. – πουλλοῖσι G, Ald., Frob. – πλὴν E (H, al. manu μέχρι). – τῶν τριῶν E. – δὲ pro γὰρ FG, Ald. — [9] ἑτέρα φθ. E (I, ἑτέρη) J (K, ἄλλη). – ἀπὸ GJ, Ald. – δὲ τάδε EK. –

mais en petite quantité. S'il vous paraît convenable d'administrer une fumigation avant de donner un évacuant, évacuez après fumigation; mais si vous ne voulez pas donner d'évacuant, administrez une fumigation et faites vomir après aliments, comme il a été écrit plus haut. Ce malade marchera, si la marche lui est utile; sinon, il gardera le repos autant que possible. Ce malade, ainsi traité, supportera le plus facilement la maladie; mais elle est dangereuse, et peu en réchappent.

11. (*Deuxième phthisie.*) Deuxième phthisie : elle vient de fatigues; les accidents sont à peu près les mêmes que dans le cas précédent, mais la maladie offre plus de rémissions, et elle se relâche en été. Le malade expectore, mais l'expectoration est plus épaisse; la toux accable surtout les personnes avancées en âge; la souffrance est plus forte dans la poitrine, il semble qu'une pierre y pèse; le dos aussi est douloureux; le corps a une transparence aqueuse; et pour le moindre effort le malade souffle et est oppressé. On meurt ordinairement de cette maladie en trois ans. Il faut la traiter par les mêmes moyens que la précédente. Elle se prolonge chez la plupart jusqu'à trois ans; mais ils n'en succombent pas moins. Car la maladie est difficile.

12. (*Troisième phthisie.*) Troisième phthisie : en voici les accidents : la moelle dorsale devient pleine de sang et de bile. La consomption vient aussi des veines creuses, qui se remplissent d'un phlegme aqueux et de bile. Au reste les accidents sont les mêmes, quel que soit le point de départ de la consomption. Tout d'abord le patient devient noir et un peu gonflé; le dessous des yeux jaunit; les veines du corps s'étendent avec

αὐτοῦ E. – καὶ χολῆς Lind., Mack. – καὶ χολῆς om. vulg. – Le τε qui subsiste dans vulg. indique qu'il manque quelque chose; c'est pourquoi j'ai reçu l'addition adoptée par Lind. et Mack. — [10] δὲ om., restit. al. manu H. – ὑδροποειδέος IJK, Ald., Frob. — [11] ὀπ. EGHIJK, Ald. – ἦν pro ἂν EFGIJK, Ald. – ὑπὸ τοὺς ὀφθ. om. Lind. – ὑπόπυα vulg. – ὑπώπια EGHIJK, Lind., Mack. – La correction de Lind. me paraît fort vraisemblable; ὑπὸ τοὺς ὀφθαλμοὺς est sans doute une glose de ὑπώπια, passée de la marge dans le texte. – διαπέφανται Lind.

ὀφθαλμοὺς ὑπώπια ὠχρὰ, καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι ὠχραὶ διατέτανται, ἔνιαι δὲ σφόδρα ἐρυθραί· μάλιστα δὲ δῆλαι αἱ ὑπὸ τῇσι μασχάλῃσι· καὶ ἀποπτύει ὠχρὰ, καὶ ὅταν αὐτέῳ [1] ἐπίῃ, πνίγεται καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος· ἐνίοτε δὲ [2] ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν ἀθρόον ἤμεσε χολὴν, ποτὲ δὲ λάπην, πολλάκις δὲ καὶ τὰ σιτία, ὅταν φάγῃ, καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι· εἶτ' αὖθις ὀλίγον χρόνον διαλιπὼν, ἐν τοῖσιν αὐτοῖσι πόνοισι [3] χέεται. Οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων, καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων ἐπιλαμβάνει ἱδρώδης. Τοῦτον ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι καὶ [4] ῥοφήμασι καὶ ποτοῖσι καὶ φαρμάκοισι καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετῇν, ὥσπερ [5] τοὺς πρόσθεν. Ἡ δὲ νοῦσος διαφέρει μάλιστα ἐννέα ἔτεα, ἔπειτα διαφέρει φθειρόμενος· παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς· χαλεπὴ γὰρ ἡ νοῦσος. Ἢν δὲ βούλῃ, [6] ὧδε ἰῆσθαι αὐτόν· πρῶτα μὲν πυριῆσαι, καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ [7] δοῦναι αὐτῷ πιεῖν μελικρήτου ἡμίχουν καὶ ὄξος παραχέαι ὀλίγον, [8] καὶ κέλευε ἀπνευστὶ τοῦτο πιεῖν· ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν [9] πολλὰ καὶ ὡς πλεῖστον χρόνον· ἢν δὲ μὴ ἀνέχηται, ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω· ἢν δὲ μὴ ἔμετος ἔχῃ χρόνου ἤδη [10] ἐγγενομένου, ἐπιπιὼν ὕδατος χλιεροῦ μεγάλην κύλικα, ἐμεέτω καταματτόμενος πτερῷ· ὁκόταν δὲ ἀπεμέσῃ ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. Ὁκόταν δὲ [11] ὥρη δείπνου ᾖ, δειπνεέτω μᾶζαν ὀλίγην, καὶ ὄψον ἐχέτω τάριχος καὶ πράσα, ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα, οἶνον δὲ πινέτω γλυκύν. Τὸν δὲ λοιπὸν χρόνον, λουέσθω [12] πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ πολλῷ, καὶ μετὰ τὸ λουτρὸν φυλάσσειν χρὴ ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς εὑδέτω ὡς πλεῖστον χρόνον. Ὁκόταν δὲ ἀναστῇ [13] εὕδων, περιελθέτω σταδίους εἴκοσι τὸ

[1] Ἐπιῇ J, Frob. — [2] ὑπὸ.... ποτὲ δὲ om. K. – ἐνίοτε pro ἀθρόον Gal. in cit. t. XVII, p. 430. – ἔμεσε Ald. – τοτὲ H. – τότε I. – ὁτὲ FG, Ald. – δοκέῃ FG, Ald., Frob. – αὖτις EH. — [3] καίεται H. — [4] ῥυφ. EGHIJK, Ald. — [5] τῶν, al. manu τοὺς H. – Si on prenait τῶν, il faudrait le lire τόν. — [6] ὧδε om. K. – πρῶτον H. – μὲν om., restit. al. manu H. – πυριεῖσθαι J. – ὁκόταν δὲ sine καὶ H. — [7] δοῦναι χρὴ πιεῖν αὐτῷ EH. – μελίκρητον vulg. – μελικρήτου E. – παραχέας E. — [8] τοῦτο δὲ κελ. ἀπν. ἐκπιεῖν sine καὶ EH. – Est-ce ici qu'il faut rapporter la glose de Gal. : ἀμυστὶ, ἀθρόως, ἄνευ τοῦ μῦσαι τοῖς χείλεσι? Le fait est qu'ἀπνευστὶ, si on le conserve, ne peut être pris à la lettre. Comment boire, sans respirer, plus d'un litre et demi? ἀμυστὶ voudrait dire : sans ôter le vase des lèvres. — [9] πολλὸν G, Ald. — [10] ἐγγενομένου H. – γενομένου vulg. – ὕδατος repetitur H. – χλιεροῦ (H, al. manu α) I.

une teinte jaune, quelques-unes même sont très-rouges; les plus apparentes sont celles de dessous les aisselles. L'expectoration est jaune; et, quand elle arrive, il étouffe et parfois ne peut tousser, bien qu'il le veuille. Parfois la suffocation et le besoin de tousser lui font vomir beaucoup de bile, ou bien de la pituite, souvent aussi les aliments, quand il mange; après le vomissement il se sent plus à l'aise; mais l'intermission n'est pas longue, et bientôt les mêmes souffrances reparaissent. Le patient a la voix plus aiguë qu'en santé. Par intervalles il est pris de frisson et d'une fièvre avec sueur. Les choses étant ainsi, on le traitera avec les mêmes aliments, potages, boissons, évacuants et le reste que dans les cas précédents. La maladie dure d'ordinaire neuf ans; passé ce terme, on la supporte tout en étant en consomption; mais peu réchappent; car elle est difficile. Si vous vous en chargez, vous la traiterez ainsi : d'abord étuver; après l'étuve, le lendemain, donner à boire un demi-conge (*conge* = 3^litres^,24) de mélicrat avec un peu de vinaigre, et commander d'avaler le tout d'un seul trait; puis on couvrira le malade de beaucoup de couvertures, et aussi longtemps que possible; s'il ne peut y tenir et qu'il ait envie de vomir, laissez-le vomir. Si, un certain temps s'étant déjà écoulé, le vomissement ne vient pas, il boira un grand gobelet d'eau tiède et vomira en se titillant avec une plume. Ayant vomi de manière à se trouver bien, il se tiendra en repos ce jour-là. L'heure du dîner venue, il prendra un peu de polenta, pour mets des salaisons et des porreaux, dont il mangera le plus qu'il pourra; il boira un vin doux. Le reste du temps, il se lavera chaque jour dès le matin avec beaucoup d'eau chaude; après le bain il prendra garde d'avoir froid; et, se couchant, il dormira le plus longtemps possible. Réveillé et levé, il fera, ce jour-là, une marche d'au moins vingt

– χλιαροῦ vulg. – κοίλακα H. – καταματτεόμενος H. — [11] δείπνου ὥρη EHIJK. – δείπνου ἢ om. Lind. – πράσσα I. — [12] τε πᾶσαν EH. – ἕωθεν H. – πλείστω, al. manu πολλῷ H. – εὕδετω HIJK, Ald., Frob. – ὡς om. FGIJ. — [13] εὕδων HIK, Ald., Frob. – εὖδον (sic) J. – ὑπερβαλλὼν (sic) H. – ὑπερβαλὼν E.

βραχύτατον ταύτῃ τῇ ἡμέρῃ· τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι πέντε σταδίους ἄλλους ὑπερβάλλων βαδιζέτω, ἑκάστης [1]ἡμέρης προστιθεὶς, ἄχρις ἂν ἀφίκηται ἐς τοὺς ἑκατὸν σταδίους. Τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων καὶ ἀπὸ κράμβης, χωρὶς ἑκάτερα ἑψήσας ἀπηθῆσαι χοέα ἑκατέρου· εἶτα [2]ξυμμίξας ἅμα συνεψεῖν· τὸ δὲ ὀϊὸς στέαρ τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς ἐν ἀμφοτέροισιν ἑψεῖν διελών· ὁκόταν δὲ μέλλῃ πιεῖσθαι, πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν ἅλας παραβάλλειν, πρὸς δὲ [3]τὸν τῶν τευτλίων μέλι παραχέειν· ἐξὸν δὲ χωρὶς ἑκάτερον πίνειν, ἢ [4]μέλι παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα πίνειν, παρὰ δὲ τὴν ἑτέρην ἅλας· ἐκπιεῖν δὲ χρὴ πάντα τὸν χυλόν. Ταῦτα μὲν ποιέειν χρὴ τριήκοντα ἡμέρας· τῷ δὲ δευτέρῳ [5]μηνὶ ἐσθιέτω ἄρτον καὶ κρέα πίονα ὑὸς ἑφθὰ, ἄλλο [6]δὲ μηδέν· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, καὶ ὁδὸν ὁδοιπορεέτω μὴ [7]ἐλάσσω σταδίων τριήκοντα πρὸ τοῦ δείπνου, μετὰ δὲ [8]τὸ δεῖπνον δέκα, καὶ μὴ ῥιγούτω, ἀλλ' ἐσκεπάσθω. Ταῦτα ἢν ποιέῃ, ῥήϊον οἴσει τὴν νοῦσον. Τῷ δὲ τρίτῳ μηνὶ κυκεῶνα [9]ἀνθινὴν πινέτω· σελίνου ῥίζας καὶ ἄνηθον καὶ πήγανον καὶ μίνθην καὶ κορίανον καὶ μήκωνας ἁπαλὰς καὶ ὤκιμον καὶ φακὸν καὶ ῥοιῆς γλυκέης καὶ οἰνώδεος χυλόν· εἶναι δὲ χρὴ [10]τὰς γλυκείας διπλασίας· [11]εἶναι δὲ χρὴ τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον [12]καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον καὶ ὕδατος κοτύλης ἥμισυ· ἔπειτα ἄνθεα τρίψας λεῖα, διῆναι τούτῳ τῷ [13]συγκεκρημένῳ, καὶ ἐγχέαι ἐς κύλικα· ἔπειτα ἐπι-

[1] Ἡμέρησι GIJ. – προστ. om., restit. al. manu H. – ἕως pro ἄχρις EHP'Q', Lind., Mack. – εἰς vulg. – ἐς EIK, Lind. – χόεα EHIJK, Ald., Frob. — [2] σ. EHIJK. – ἐς τωὐτὸ pro ἅμα EH. – συνεψεῖν τὸ στέαρ (τὰ ὀστέα οἱ pro τὸ στέαρ FGIJK, Ald.; δέ οἱ ὀστέα H; δέ οἱ στέαρ E; τὸ στέαρ ὄϊος Vatic. exempl. ap. Foes, Mack ὀϊός; τὸ στέαρ ὄϊον Lind.) τὸ (τὸ om. Lind.) ἀπὸ vulg. – Le δὲ est nécessaire; quant à ὀϊὸς, il est dans la fausse leçon οἱ ὀστέα. Je lis donc τὸ δὲ ὀϊὸς στέαρ. – μνὰς HIJ. – ὅταν K. – πιῆσθαι EFGIJK. – ἅλα HJK. – παραβαλεῖν HK. — [3] τὸν om., restit. al. manu E. – τὸ F. – παραχέων, al. manu χέειν E. – ἢν pro ἐξὸν (E, al. manu ἐξὸν) FGHIJK, Ald. – ἑκατέρου FGJ, Ald. — [4] μέλι om. G, Ald. – παραγχέας (sic) F. – παραχέας, al. manu εγ H. – κοίλικα H. – Ante πίνειν addit καὶ H. — [5] Ante μηνὶ addit μὴ H. – ἄρτου G, Ald. — [6] δὲ om., restit. al. manu H. – καὶ αὐστ. E (H, καὶ al. manu). — [7] ἐλάσσων E. — [8] τὸν K. – ῥηΐδιον FK. – ῥήδιον GIJ. – ῥᾶον E. – ῥῆον H. — [9] ἀνθίνην Lind. – ἀνθινὸν Mack. – Gal. Gl. : ἀνθίνην οἶνον, ἤτοι τὸν ἀνθοσμίαν ὀνομαζόμενον, ἢ τὸν ἐκ τῶν ἀνήθων (l. ἀνθῶν) ἡδυσμένον. Ὥσπερ καὶ κυκεῶνα ἀνθινὸν ὠνόμασεν ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι. – πίγανον J. – κορίαννον H. – μήκονας GJ, Ald., Frob. – γλυκέης K. –

stades (*stade* = 180 mètres); les jours suivants il fera cinq stades de plus, ajoutant chaque jour cinq stades, jusqu'à ce qu'il atteigne cent stades. On relâchera, à partir de ce jour, le ventre à l'aide d'eau de bette et de chou; on fera cuire séparément les bettes et les choux, et on en filtrera un conge (3^{litres},24) de chaque; puis on les mêlera et on les fera cuire ensemble; on aura fait cuire, dans chaque séparement, de la graisse de rognons de moutons, à la dose d'un quart de mine (*mine* = 324 grammes) partagée entre les deux; quand le patient va boire, on ajoute à l'eau de chou du sel, à l'eau de bettes du miel; il est loisible de les boire séparément, ou de les prendre en ajoutant à une tasse du miel, à l'autre du sel; il faut boire tout le conge. Voilà ce qu'on fera pendant trente jours; le second mois, le malade mangera du pain, des viandes de porc grasses et bouillies, et rien autre. Il boira un vin blanc, astringent, et fera une marche qui ne sera pas moindre de trente stades avant le dîner, et de dix après le dîner; il ne prendra pas froid et se couvrira. S'il suit ce régime, il supportera plus aisément la maladie. Le troisième mois, il boira du cycéon aux fleurs ainsi préparé : prenez racine de persil, aneth, rue, menthe, coriandre, pavot frais, basilic, lentille, et du jus de grenades douces et de grenades vineuses; il y aura le double de douces, le suc des unes et des autres fera une demi-cotyle (*cotyle* = 0^{litre},27); il y aura en outre une demi-cotyle d'un vin noir, doux, astringent, et une demi-cotyle d'eau; puis, ayant bien pilé les plantes, on les macérera dans ce mélange, et on versera dans une tasse; alors dedans on jettera un oxybaphe (0^{litre},068) de farine d'ers, autant de gruau

γλυκείης vulg. — [10] τῆς γλυκείης διπλάσιον Lind. — [11] εἶναι δὲ χρὴ om. Lind. – συναμφ. καὶ (καὶ om., restit. al. manu H) τοῦ χ. EH. – καὶ τοῦ vulg. – συναμφ. IJK. – ξὺν ἀμφοτέρων Ald., Frob. — [12] καὶ.... ἡμικοτύλιον om. (H, restit. al. manu) I. – ἥμισυν IJ. – Gal. Gl. : ἄνθεα, οὐ μόνον ταῦτα τὰ εἰς τὰ στέφανα, ἀλλὰ καὶ τὰ ἄλλα πάντα οὕτως ὀνομάζει· καὶ τὰ σπέρματα δὲ ὡσαύτως ἐνίοτε καλεῖ, ὥσπερ καὶ ἐν τῷ δευτέρῳ τῶν γυναικείων. – διεῖναι J. — [13] συγκεχρημένω EHP'. – κεχρημένῳ vulg. – ἐπιβαλλεῖν sic I. – ὀξόβαφον HIJ. – ἶσον (bis) J. – ἀγγίου pro αἰγείου J. – ξέσαι al. manu H.

βαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον, καὶ ἄλφιτον ἴσον, καὶ τυροῦ παλαιοῦ αἰγείου ξέσας τὸ ἴσον τοῖσιν ὀρόβοισι· ταῦτα [1]ξυγκυκήσας ἐκπιέτω· ἔπειτα διαλιπὼν ὀλίγον χρόνον ἀριστάτω ἄρτον, καὶ ὄψον ἐχέτω τέμαχος νάρκης ἢ ῥίνης ἢ γαλεοῦ ἢ βατίδος, [2]καὶ κρέα ὑὸς ἐσθιέτω ἐφθὰ, καὶ παχυνέτω ἑωυτὸν, ἡσυχίην ἄγων ὡς μάλιστα, καὶ πυριῆν διὰ δεκάτης ἡμέρης [3]ἐς ἑωυτὸν ἡσυχῇ. Τῷ δὲ τετάρτῳ μηνὶ πυριῆν διὰ πέμπτης ἡμέρης ἀτρέμα, καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον· [4]ὄψῳ δὲ χρεέσθω τυροῖσι καὶ κρέασιν ὀλίγοισιν, οἷος ἐφθοῖσιν. Ὁδοιπορεέτω δὲ [5]καὶ σταδίους, ὡς πρόσθεν εἴρηται, [6]ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς τῇ πρώτῃ ἡμέρῃ ἀπὸ δέκα σταδίων βαδιζέτω, καὶ καθ' ἑκάστην προστιθέτω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι· [7]περιπατεέτω δὲ τῆς ἡμέρης ὀγδοήκοντα σταδίους, [8][πρὸ τοῦ δείπνου τριήκοντα,] μετὰ τὸ δεῖπνον [9]εἴκοσι, ὄρθρου [10]τριήκοντα. Τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω μᾶζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα, καὶ ὄψον ἐχέτω σελάχια, [11]καὶ κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων· ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος καὶ ἐγχέλυος καὶ μελανούρου· ἐσθιέτω δὲ νάρκην καὶ ῥίνην καὶ βατίδα καὶ γαλεὸν καὶ τρυγόνα καὶ βατράχους, τῶν δὲ [12]ἄλλων μηδέν· ἢν δὲ δοκέῃ ἀσινέα εἶναι, καὶ κυκεῶνα, ἐπειδὰν θέλῃ καθευδῆσαι, πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα, καὶ μεθ' ἡμέρην τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ. Καὶ ὁδοιπορεέτω τῆς ἡμέρης, ἑκατὸν πεντήκοντα σταδίους, [13][πρὸ τοῦ δείπνου ἐννενήκοντα,] μετὰ [14]τὸ δεῖπνον [15]εἴκοσιν, ὄρθρου δὲ [16]τεσσαράκοντα. Οὗτος οὕτω θεραπευόμενος γίνεται ἐν ἐνιαυτῷ ὑγιής.

13. [17]Αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ

[1] Σ. EHIJK. – διαλοιπὼν J. – ἄρτου FG, Ald. – τέμμαχον GK, Ald. – ῥήνης E. – γαλαιοῦ GI. – γαλαίου JK. — [2] ἢ pro καὶ K. – οἰὸς, al. manu ὑὸς H. – ἔχων pro ἄγων J. — [3] ἐς omittit Martinus. — [4] ὄψα vulg. – ὄψω EHIK, Lind., Mack. – πυροῖσι EFGHIJK, Ald., Frob. – οἷος Lind., Mack. — [5] καὶ om. EH. – Ante ὡς addit οὗτος EP'. – ὡς πρ. εἰρ. om., restit. al. manu H. — [6] οὗτος τῷ τετάρτῳ μηνὶ ἀρξ. sine δὲ H. – τετάρτῳ μηνὶ ἀρξ. sine δὲ E. – βαδιζέτω om., restit. al. manu H. – καὶ καθ' ἑκ. προστ. om., restit. in marg. sine καὶ H. – προστιθέσθω G, Ald. – ἕως pro μέχρις Lind. – ἂν om., restit. al. manu H. – ὀγδ. αὐτῷ EH. – στάδιοι γέν. E. — [7] καὶ (καὶ om. E) περ. (περιπατείτω GJ, Ald.) (addit δὲ E) τῆς vulg. — [8] πρὸ τ. δ. τρ. Cornar., Foes, Mack. – πρὸ τ. δ. τρ. om. vulg. – Cette addition est indispensable. — [9] τριήκοντα Calvus. – ὄρθρου δὲ EH. — [10] τριάκ. vulg. – τριήκ. EHIJK, Lind. – πεντήκοντα Calvus. – διαιτᾶσθαι, al. manu τάσθω H. – ὄψων J. — [11] καὶ

d'orge, et autant de vieux fromage de chèvre râclé; ayant fait un cycéon de tout cela, il le boira. Puis, au bout d'un peu de temps, il déjeunera, mangeant du pain, et, pour mets, tronçons de torpille, ou de raie bouclée, ou de mustèle (*un squale*), ou de raie; il usera de viandes de porc bouillies; il se donnera de l'embonpoint gardant le repos autant que possible, et il s'étuvera tranquillement tous les dix jours. Le quatrième mois il s'étuvera légèrement tous les cinq jours; il prendra le plus de mets qu'il pourra, mangeant du fromage, peu de viande, du mouton bouilli. Il parcourra encore des stades, comme il a été dit plus haut, commençant le premier jour du quatrième mois par dix, et ajoutant dix chaque jour, jusqu'à ce qu'il arrive à quatre-vingts; alors il fera dans la journée quatre-vingts stades, trente avant le dîner, vingt après le dîner, et trente le matin. Le reste du temps, il mangera de la polenta et du pain, usant de l'une et de l'autre; pour mets il aura des poissons cartilagineux et toutes les viandes, sauf le bœuf et le porc; il s'abstiendra de ces poissons-ci : le cestrée (*un muge*), l'anguille, le mélanure; il mangera la torpille, la raie bouclée, la raie, la mustèle, la pastenague, les baudroies, et aucun autre. Il prendra aussi, si cela ne paraît pas lui faire de mal, du cycéon avant de se coucher, cycéon fait avec un vin noir, doux et vieux, à la dose d'une tasse de deux cotyles; pendant le jour il boira du même vin par-dessus son manger. Il fera pendant le jour cent cinquante stades, quatre-vingt-dix avant le dîner, vingt après, et quarante le matin. Ce malade, ainsi traité, guérit en un an.

13. (*Il s'agit sans doute ici d'une maladie causée par les*

om., Lind., Mack. – δὲ om., restit. al. manu H. – νάρκη, al. manu ην H. – ῥήνην E. – ῥίνη, al. manu ην H. – γαλαιὸν G. – γαλαῖον IJK. — [12] λοιπῶν EH. – μηδένα EH. – ἐπειδὰν [δὲ] Lind. – μέλλῃ EHP'Q', Lind. – καθευδήσειν EHJ. – ἐπὶ τῶ σιτέω K, Mack. — [13] πρὸ τ. δ. ἐνν. K', Cornar., Foes, Mack. – πρὸ τ. δ. ἐνν. om. vulg. – Addition indispensable comme plus haut. — [14] τὸ om. EFGHIJK, Ald. — [15] πεντήκοντα Calvus. — [16] ἑκατὸν Calvus. – οὕτως vulg. – οὕτω K, Lind., Mack. – ἐν om. K. – γίνεται ὑγιὴς μάλιστα ἐνιαυτῷ οὕτω θεραπευόμενος EH. — [17] In tit. ἢν μυελὸς ὁ κατὰ τὴν ῥάχιν αὐαίνηται GHIKP'. – δὲ pro μυελὸς ὁ κ. τ. ῥ. quod restit. al. manu post μάλιστα H. – δὲ μάλιστα ὁ κ. τ. ῥ. μυελὸς E. – ῥάχην K. – φλέβια E. – ἐς EHIJK, Lind. – εἰς vulg.

φλέβια ἀποφραχθῇ τὰ ἐς τὸν μυελὸν τείνοντα καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. Διὰ κάκωσιν δὲ τοῦ σώματος τάδε πάσχει καὶ νοσέει· αὐαίνεται [1] μάλιστα καὶ ἀπὸ λαγνείης· τάδε οὖν πάσχει· ὀδύνη ὀξέη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον, καὶ [2] ἐς τὴν ὀσφῦν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν· καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ' ἵσταται καὶ δυσουρέεται. Οὗτος κατ' ἀρχὰς μὲν τῆς νούσου [3] ἡσυχαίτερον διάγει· ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον, καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὕδέρου, καὶ ἕλκεα ἐκφλυνδάνει [4] ἀπὸ τῆς ὀσφύος, καὶ τὰ μὲν ἄλλα ὑγιαίνεται, τὰ δὲ ἄλλα παραφύεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, [5] πυριήσας τὴν κεφαλὴν, τῷ ἱππόφεω ὀπῷ ἢ τῷ κνιδίῳ κόκκῳ καθῆραι πρῶτον τὸ σῶμα εὖ μάλα· τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν [6] πτισάνης δύο τρυβλία ῥοφεέτω μέλι παραχέας· οἶνον δὲ λευκὸν πινέτω μαλθακόν. Τῇ [7] δὲ ὑστεραίῃ ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας, ὀκτὼ κοτύλας ἐκπιεῖν· ἢν δὲ μὴ ὄνειον ἔχῃς, [8] βοείου ἢ αἰγείου ἑφθοῦ τρία ἡμιχόεα, παραχέας μέλι· καὶ τὴν ὥρην γαλακτοποτεέτω ἐν [9] ὀῤῥῷ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα ἡμέρας. Σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω ὡς διαχωρητικωτάτοισιν· οἶνον δὲ πινέτω λευκὸν, μαλθακὸν, Μενδήσιον. [10] Ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν ὀσφῦν ἑκατέρωθεν τῶν [11] σπονδύλων τέσσαρας ἐσχάρας, καὶ ἐς τὸ μετάφρενον δεκαπέντε ἑκατέρωθεν, καὶ ἐς τὸν αὐχένα δύο μεταξὺ τῶν τενόντων· ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπή.

[1] Δὲ μάλιστα E. – λαγνείας J. – ὀξέη, al. manu εί H. – ὀξείη vulg. – αὐτοῦ K. – τράχυλον Ald. — [2] ἐς om. GHK. – ὀσφὺν J, Ald., Frob., Lind., Mack. – μύας HK, Mack. – μῦας vulg. – δύνανται EH. – ξυγκάπτειν E. — [3] ἡσυχαίτερον HIKP'Q', Lind., Mack. – ἡσυχέτερον EF. – ἡσυχέστερον vulg. – Post σκέλεα addunt τε EH. – Post ἕλκεα addit δὲ E. – ἐκφυνδάνει FGIJKQ', Vatic. ap. Foes, Lind., Mack. – ἐκφηνδάνει, al. manu φυν H. – ἐκφυδάνει (E, al. manu φλύν) L. – Gal. Gl. : ἐκφινθάνει, ἐξορμᾷ. — [4] ἐκ EH. – φύεται vulg. – παραγίνεται, al. manu φύεται H. – παραφύεται EP'Q', Lind., Mack. — [5] καθῆραι τὴν κεφαλὴν τῷ ἱπποφαέως (ἱπποθέω FGHIK; ἱπποφέω E; ἱππόφεω Lind.) ὀπῷ ἢ τῷ κνιδίῳ κόκκω πυριήσας πρῶτον vulg. – La place est manifestement intervertie entre καθῆραι et πυριήσας. Μετὰ τὴν κάθαρσιν qui suit l'indique suffisamment. – Gal. Gl. : ἱππόφεως, τοῦτο οὐ μόνον ἱπποφαὲς ὀνομάζεται, ἀλλὰ καὶ κνάφον καὶ στύβον. – δ' K. — [6] πτισσ. E. – ῥυφεέτω G, Ald. — [7] δ' EH. – ὀκτὼ κοτ. ἐκπ. om. FGIJK. – ἔχεις J. – ἔχῃς om. FG. — [8] βοείου ἢ αἰγείου ἑφθοῦ H, Lind. – βόειον ἢ αἴγειον ἑφθὸν vulg. – ἡμιχοέα, al. manu χόε H. – γαλακτοποτιέτω (sic) IJ. — [9] ὀροβίῳ vulg. – ὀῤῥῷ K', Cal-

pertes seminales. Comp. la phthisie dorsale du Deuxième livre des Maladies, § 51.) La moelle rachidienne se dessèche surtout, quand les veines qui se rendent à la moelle et la voie qui mène hors de l'encéphale sont obstruées. C'est par la détérioration du corps que surviennent ces accidents et cette maladie; les excès vénériens en sont surtout la cause. Voici les accidents : une douleur aiguë se fait sentir à la tête, au cou, aux lombes, aux muscles des lombes et aux articulations des membres inférieurs, au point que parfois le malade ne peut les fléchir. Les selles ne procèdent pas; il y a constipation et dysurie. Le malade, au début, supporte assez paisiblement son mal; mais plus le temps s'écoule, plus toutes les souffrances augmentent. Les jambes enflent comme par l'hydropisie; des ulcérations se forment aux lombes, les unes guérissant, les autres naissant à côté. Les choses étant ainsi, après avoir étuvé la tête, on évacuera énergiquement avec le suc de l'hippophée (*euphorbia spinosa*, L.) ou avec le grain de Cnide; le soir, après l'évacuation, le patient prendra pour potages deux oxybaphes d'orge en décoction avec addition de miel; il boira un vin blanc et émollient. Le lendemain on lui donnera huit cotyles de lait d'ânesse cuit avec addition de miel; si vous n'avez pas de lait d'ânesse, donnez trois demi-conges de lait de vache ou de chèvre cuit avec addition de miel. Dans la saison il suivra un régime lacté, sous forme de petit-lait et de lait, pendant quarante-cinq jours. En aliments de céréales et en mets, il usera de ce qu'il y a de plus relâchant; il boira du vin blanc, émollient, de Mendes. Au moment où il aura le plus d'embonpoint, on lui fera aux lombes, de chaque côté des vertèbres, quatre eschares, au dos quinze de chaque côté, au cou deux entre les tendons. Car, si vous réussissez dans la cautérisation, vous guérirez le patient. Mais la maladie est difficile.

vus. – La lecture d'ὀῤῥῷ pour ὀροβίῳ est certaine; voyez les passages parallèles, où il est toujours question de petit-lait et de lait. — [10] ὀπ. H. – παχύτατα FG. – ὀσφὺν E, Ald., Frob., Lind., Mack. — [11] σφ. K. – εἰς HIJK. – Ante ὑγιέα addunt καὶ EGHIJK, Ald.

14. [1] Αἱ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι· ἀπὸ τῆς πρώτης τάδε πάσχει· ὀδύνη ὀξείη ἐμπίπτει [2] ἐς τὸν νεφρὸν καὶ ἐς τὴν ὀσφῦν καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρὸν, καὶ οὐρέει πυκινὰ, καὶ στύφει κατ' ὀλίγον τὸ οὖρον, καὶ ἅμα τῷ οὔρῳ προέρχεται ψάμμος, καὶ ὁκόταν [3] ἐξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ· ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν· ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται· ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. Πολλοὶ δὲ τῶν ἰητρῶν οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιῇν τὴν κύστιν, [4] καὶ ταύτην μὲν οὔ, τὸν δὲ νεφρὸν [5] λιθιῇ. Αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος, ὁκόταν [6] ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ [7] ξυμπωρωθῇ· τοῦτο γίνεται λίθοι λεπτοὶ οἷον ψάμμος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τῷ ὀπῷ τῆς σκαμμωνίης ἢ αὐτῇ τῇ ῥίζῃ, [8] πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα, ὑποκαθῆραι· τῇ [9] δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι ἐύν χρεῦσιν, ἅλας δὲ παρεμβαλὼν διδόναι πίνειν· μετὰ δὲ ταῦτα ποτοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι [10] μελετῇν, διδοὺς τὰ αὐτὰ ἃ τῷ στραγγουριῶντι δίδοται φάρμακα. Ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι ὅπῃ πονέει μάλιστα. Ὁκόταν δὲ ἀποιδήσῃ καὶ [11] ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν, καὶ ἐξελὼν τὸ πῦος, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι· ἣν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγέειν· ἣν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ συναποθνήσκει.

15. [12] Δευτέρη νοῦσος νεφρῶν· αἱ μὲν ὀδύναι ἰσχυρῶς πιέζουσιν ὡς

[1] Ἀπὸ τῶν νεφρῶν αἵδε νοῦσοι γίνονται τέσσαρες (E, et addit τίνες νοῦσοι ἀπὸ νεφρῶν γίνονται) (H, sine τῶν) IK. – ἐμπίπτει ὀξείη E. — [2] ἐς EH, Lind. – εἰς vulg. – καὶ ἐς τὴν.... νεφρὸν om. J. – καὶ ἐς τὸν κενεῶνα EH. – καὶ ἐς τ. κ. om. vulg. – πυκνὰ Lind. – προτέρχεται EGHIK, Vatic. exempl. ap. Foes, Ald. — [3] ἕξει (sic), al. manu ἐξίει H. – αὖτις EH. — [4] καὶ ταύτην om., al. manu καὶ ταύτη H. – οὐ λιθιῇ pro οὔ EH. — [5] λιθιᾷ EH. – λιθιῇν JK. — [6] οἱ νεφροὶ E. — [7] σ. IJ. – τούτω al. manu H. – σκαμμωνίης GJ, Ald., Frob. — [8] πυριῆσαι (πυριάτης K') (addit δὲ Mack) πρόσθεν δὲ (δὲ om., H restit. al. manu, K') ἅπαν vulg. – C'est sans doute πυριάτας qu'avait K', mal cité par Mack; en tout cas, c'est cela qu'il faut avec la suppression de δέ. — [9] δ' EHK. – ὑστερέῃ G, Ald. – τῷ om. EH. – τῷ χυλῷ H. – ἅλα EHJK. — [10] μελέτην IJ. – μελετᾶν E. – καὶ pro ἃ (E, ἃ al. manu) FGHIJK. – δίδου αὐτῷ pro δίδοται EFGIJK. — [11] ἐξαρθῇ E. – ἐξορθρῇ, al. manu ἐξαρθῇ H. – Post χρόνον addunt παράσχῃ EH. – μὲν om., restit. al. manu H. – ἐκφυγέειν EH.

14. (*Quatre maladies provenant des reins. Première maladie, incision à la région rénale; voyez la savante dissertation de M.* Rayer *sur la néphrotomie,* Maladie des reins, t. III, p. 206.) Les quatre maladies provenant des reins : voici les accidents de la première : une douleur aiguë est ressentie au rein, aux lombes, au flanc, au testicule du côté malade; le patient urine souvent; peu à peu l'urine se supprime; avec l'urine sort du sable; quand ce sable traverse l'urèthre, il cause une vive douleur, qui se passe quand il est expulsé; puis les mêmes souffrances recommencent. De plus, quand il urine, il frotte la verge à cause de la douleur. Plusieurs médecins qui ne comprennent pas la maladie, voyant le sable, croient que la vessie est graveleuse (Aph., IV, 79; *voy.* Argument des Aph., t. IV, p. 424); or, c'est non pas la vessie, mais le rein qui est graveleux. Cette maladie provient du phlegme, quand le rein, attirant à soi cette humeur, ne la rejette pas ensuite; humeur qui s'y solidifie; cela devient de petites pierres comme du sable. Les choses étant ainsi, on étuvera tout le corps, après quoi on évacuera modérément avec le suc de scammonée ou avec la racine même. Le lendemain on évacuera avec l'eau de pois chiches blancs, à la dose de deux conges; au moment de boire on y mettra du sel. Après cela, on traitera par les boissons, les aliments et les bains, donnant les mêmes choses qui se donnent dans la strangurie. Quand la douleur presse, on lave avec beaucoup d'eau chaude, et on fait des applications chaudes là où la souffrance est la plus forte. Quand il s'est formé gonflement et soulèvement, vous ferez à ce moment une incision sur le rein, et, évacuant le pus, vous traiterez la gravelle par les diurétiques; en effet, si l'incision est pratiquée, il y a chance de salut; sinon, la maladie finit par causer la mort.

15. (*Deuxième maladie des reins. Phthisie rénale.*) Seconde maladie des reins : les douleurs se font sentir violemment

– ἐκφυγεῖν vulg. – ξυναπ. Lind. — [12] ἄλλη EHI. – ἑτέρη K. – νοῦσος om. H. – νεφροῦ EHIK. – αἱ μὲν οὖν K.

ἐν τῇ πρόσθεν. Γίνεται δὲ τὸ [1]νούσημα ἀπὸ ταλαιπωρίης, ὁκόταν ῥαγῇ τὰ φλέβια [2]τὰ ἐς τὸν νεφρὸν τείνοντα, ἔπειτα ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. Οὗτος ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει ἅμα τῷ οὔρῳ αἷμα κατ' ἀρχὰς τοῦ [3]νουσήματος, ἔπειτα πῦον προϊόντος τοῦ χρόνου. Οὗτος ἢν [4]ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται· ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον [5]ἕξουσιν. Ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, ἀποιδέει παρὰ τὴν ῥάχιν· τοῦτον, ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον, μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν· κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις· ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. Ἢν δὲ [6]ξυμφυῇ τὸ ἕλκος, ἐμπυοῦται εἴσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ· κἢν μὲν ῥαγῇ ἔσωθεν καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πῦα, ἐλπὶς ἐκφυγέειν· ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσει καταφθαρῆναι. Μελετῇν [7]δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν, καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω· αὕτη [8]δὲ ἡ νοῦσος χαλεπὴ, καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου ἐς φθίσιν νεφρίτιδα κατέστησαν.

16. [9]Τρίτη νοῦσος νεφρῶν· τὸ μὲν οὖρον προέρχεται οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. Γίνεται δὲ τὸ [10]νούσημα ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια συῤῥῇ τὰ τείνοντα ἐς τὸν νεφρὸν, καὶ ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν· ὑπὸ οὖν τῆς ἑλκώσιος [11]τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. Αἱ δὲ ὀδύναι ἔχουσιν ἐν τῇ ὀσφύϊ καὶ ἐν τῇ κύστει καὶ ἐν τῷ περινέῳ καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ' ὀλίγον χρόνον· ἔπειτα ἀνῆκεν ὁ πόνος καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου· καὶ ἐς τὸ λεπτὸν τῆς γαστρὸς ἔστιν ὅτε ὀδύνη ἐμπίπτει. Τοῦτον, ὁκόταν [12]οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ ἢ τῆς σκαμμωνίης ῥίζῃ· πίνειν διδόναι τὰ αὐτὰ ἃ καὶ τῷ στραγγουριῶντι,

[1] Νόσ. EHIJK. – φλεβία E. — [2] τὰ om., restit. al. manu H. – Ante ὁ addunt ἢν E (H, al. manu) P'Q', Mack. – πλησθῇ EFGHIJK, Ald. — [3] νοσ. EGHI, Ald., Frob. – πύει FGHJ, Ald. – πύη K. – πτύει EI, Vatic. exempl. ap. Foes. – C'est πύη que ces leçons supposent, pour πύεα pluriel de πῦος; πῦα, pluriel de πῦον, est fréquent. – Ante τοῦ addunt δὲ EH, Lind. — [4] ἡσυχίαν G, Ald. – ἔχῃ om., restit. al. manu H. — [5] ἔξουσιν (sic) H. – οὖν EH. – ἀποιδέῃ Frob. – παρὰ FGIJK, Vatic. exempl. ap. Foes, Lind. – περὶ vulg. – οὔτω H. – ποιήσῃς H. – δ' E. — [6] σ. EHIJK. – ἐκπυοῦται vulg. – ἐμπυοῦται EG (H, al. manu) IJ. – κινδυνεύσει EIJKθ. – κινδυνεύει, al. manu σει H. – κινδυνεύσῃ vulg. – κάταφθαρῆν (sic) Frob. — [7] δὲ χρὴ θ. – καὶ om. θ. – Post τοῖσιν addunt ἄλλοισι τοῖσιν EH. – ὡς pro οἷσι θ. — [8] δὲ om., restit.

comme dans la précédente. Cette maladie vient de fatigues quand, les veines qui se rendent au rein se déchirant, le rein s'emplit de sang. Dans cet état, le patient rend, avec l'urine, du sang au début de la maladie, puis, avec le temps, du pus. S'il garde le repos, il guérira très-promptement; mais, s'il fait quelque effort, les douleurs deviennent beaucoup plus vives. Quand le rein s'est rempli de pus, il se gonfle près du rachis. En ce cas, on pratiquera sur le gonflement une incision, en général profonde, dans le rein. Si vous réussissez dans l'incision, vous guérirez sur-le-champ le patient; si vous échouez, il est à craindre que la plaie ne se ferme pas. Les bords de la plaie se recollent-ils? la cavité du rein se remplit de pus en dedans; si le pus se fait jour en dedans et passe dans le rectum, il y a chance de salut; mais, s'il va joindre l'autre rein, la mort est à craindre. On emploiera les évacuants et tous les autres moyens du cas précédent; le régime sera le même. Cette maladie est difficile; et chez beaucoup elle s'est terminée par une phthisie rénale.

16. (*Troisième maladie des reins.*) Troisième maladie des reins : l'urine rendue est comme du jus de bœuf rôti. La maladie vient de la bile noire, quand la bile afflue dans les veines qui se rendent au rein; s'y arrêtant, elle ulcère les veines et le rein; c'est donc l'ulcération qui fait qu'avec l'urine est rendue une telle humeur. Les douleurs se font sentir aux lombes, à la vessie, au périnée et au rein même, pendant peu de temps; puis la souffrance cesse, pour reprendre bientôt avec acuité. Parfois aussi la douleur saisit le bas du ventre. Les choses étant ainsi, on évacuera le ventre avec l'épithymum (*cuscuta epithymum*, L.) ou la racine de scammonée; on donnera à boire ce qui se donne dans la strangurie; et, quand la

al. manu H. — [9] ἀλλη EHIJK. – νοῦσος om., restit. al. manu post νεφ. H. – νεφροῦ EHIJ. — [10] νόσ. EH. – ὅταν FG. – φλεβία E. – συνρυῆ θ. – συρρεῖ H. – ξυῤῥῆ Lind. – τὰ ἐς τὸν ν. τείν. E. — [11] τοιοῦτο Lind. – περιναίω EG (HI, al. manu) JK. — [12] οὕτω H. – τῇ σκαμμωνίῃ FG (H, al. manu τῆς σκαμμωνίης) (θ, σκαμωνίῃ), Ald. – λούειν καὶ πολλῷ καὶ χλιάσματα προστιθέναι θ.

καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα, καὶ [1]ῥοφήματι χρεέσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας, καὶ τῇ ἄλλῃ διαίτῃ [2]χρεέσθω ὡς διαχωρητικωτάτῃ, καὶ οἶνον πινέτω λευκὸν Μένδαιον μελίχρουν, ἢ ἄλλον λευκὸν τὸν ἥδιστον καλῶς κεχρημένον. Αὕτη ἡ νοῦσος οὐ μάλα ἐκλείπει· καὶ τὴν ὥρην ὀῤῥοποτεέτω καὶ γαλακτοποτεέτω, ἐς κάθαρσιν μὲν τῷ ὀῤῥῷ, τὴν δὲ γαλακτοποσίην [3]ποιεέσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. Ταῦτ' ἢν οὕτω ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον.

17. [4]Τετάρτη νοῦσος νεφρῶν· [5]τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος, ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιστα· γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. Οὗτος τάδε πάσχει· ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὴν ὀσφῦν καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ πάσχει [6]ὁκοῖα γυνὴ ὠδίνουσα, καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακείμενος, ἀλλ' ἄγαν πονέει, [7]καὶ τοῦ κενεῶνος δοκέει καταχρέμασθαι ὡς ἀποῤῥησσόμενα· ἐπὶ δὲ τὰ πρηνέα ἢν κατακέηται, οὐκ ἀλγέει· οἱ δὲ πόδες καὶ αἱ κνῆμαι [8]αὐτοῦ ἀεὶ ψυχρά· τὸ δὲ οὖρον μόλις προέρχεται ὑπὸ τῆς θερμασίης καὶ παχύτητος τοῦ οὔρου· κἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως [9]ἂν καταστῇ, ὄψει τὸ ὑφεστηκὸς παχὺ, οἷόν περ ἄλευρον· κἢν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυῤῥον αὐτὸ ὄψει· ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ [10]νούσημα, λευκὸν καὶ παχὺ ἔσται. Καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν ἢ ὀλίγῳ πλέονα ἢ ὀλίγῳ ἐλάσσονα χρόνον τοιαῦτα πάσχων διατελέει· [11]ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται, καὶ ὁκόταν ἔμπυος

[1] Ῥυφ. G, Ald. – παραχέων θ. — [2] χρέεσθαι E. – μενδαίον (sic) θ, Mack. – μενδαῖον EHK. – μενδήσιον Q', Lind. – μελιχροῦν I. – μάλιστα pro οὐ μάλα θ. — [3] ἐν ὥρῃ ποι. EH. – ταύτην J. – οὕτω om., restit. al. manu H. – ῥήϊστα διέξει, al. manu καὶ ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν ν. H. – ῥήϊστα διεκφύγοι τὴν ν. E (P'Q', διαφεύξει). — [4] ἄλλη νοῦσος νεφροῦ (E, νόσος) (H, al. manu) IJK (θ, sine νοῦσος). — [5] τὸ.... φλέγματος om. θ. – νόσ. EH. – δὲ ponit post τοῦ θ. – ὀσφὺν J, Ald., Lind., Mack. – μῦας Lind., Mack. — [6] ὁποῖα G. – κατακεῖσθαι vulg. – κατακείμενος (H, al. manu κατακεῖσθαι) θ. – ἃ γὰρ pro ἀλλ' ἄγαν θ. – ἄγε pro ἄγαν J. — [7] καὶ om. θ. – καταχρεμᾶσθαι vulg. – κατακρέμασθαι K. – ἀπορησσόμενα vulg. – ἀποριssόμενα, al. manu ἀποῤῥησσ. H. – ἀποῤῥησσ. EK, Mack. – Ante ἐπὶ addunt ἔπειτα πονέει EH. — [8] ἀεὶ ψυχραὶ αὐτοῦ EH. – αἰεὶ Lind. – ψυχραὶ IJK. – μόγις θ. – φλεγμασίης vulg. – θερμασίης θ. – παχυτῆτος vulg. – παχύτητος E, Lind., Mack. — [9] ἦν H. – ὄψῃ FG, Ald. – Ante παχὺ addunt πᾶν θ, Vatic. exempl. ap. Foes, Mack. – πᾶν pro

douleur est présente, on lave avec beaucoup d'eau chaude, et on fait les applications chaudes sur la partie douloureuse surtout. Pour potage le patient prend de la farine cuite, à laquelle on ajoute du miel; le reste de son régime est aussi relâchant que possible. Il boira du vin blanc de Mendes miellé, ou un autre vin blanc très-agréable et bien coupé. Cette maladie ne quitte guère le patient. Dans la saison, il boira du petit-lait et du lait; le petit-lait est pour relâcher le ventre; quant à la cure par le lait, il en boira, dans la saison, pendant quarante-cinq jours. Si vous agissez ainsi, vous mettrez le malade en meilleur état.

17. (*Quatrième maladie des reins.*) Quatrième maladie des reins : la maladie vient de la bile et du phlegme, pendant l'été surtout; elle vient aussi d'excès de coït. Voici les accidents : des douleurs se font sentir aux flancs, aux lombes et aux muscles des lombes; le patient souffre comme une femme en mal d'enfant; il ne supporte pas le décubitus sur le côté sain, ce qui augmente la souffrance à l'excès, et lui donne la sensation de quelque chose suspendu au flanc et se déchirant. Mais, s'il se couche sur le ventre, il ne souffre pas. Les pieds et les jambes sont toujours froides. L'urine est rendue avec peine à cause qu'elle est brûlante et épaisse; si vous l'abandonnez pendant quelque temps jusqu'à ce qu'elle dépose, vous verrez un sédiment épais et semblable à de la farine; si c'est la bile qui domine, il sera rougeâtre; si c'est la pituite, il sera blanc et épais. D'abord le patient demeure en proie à ces souffrances pendant un an, un peu plus ou un peu moins; puis, si la maladie se prolonge, ses souffrances augmentent, et une suppuration se forme. Quand elle est formée et qu'il y a gonflement, on pratiquera, là où le gonflement est le plus considérable,

παχὺ FGIJK, Ald. – ἐπικρατέει K. – ὑπόπυρον EGIJ. — [10] νόσ. E. – ἐστὶ E. – πλείονα E. – πλείω sine ἢ ὀλίγῳ ἐλάσσονα θ. — [11] ἢν ὧδε χρόνος πλείων τῇ νούσῳ καὶ ἀπομηκύνηται, al. manu ἢν δ' ἐπ. ἡ ν. H. – ἢν δὲ ὁ χρόνος πλείων τῇ νούσῳ ἀπομηκύνηται θ. – δ' E. – τε om. θ. – ἐκπυῶται θ. – καὶ ὁκόταν ἔμπυος ᾖ, ἀποιδέει, καὶ ὅκου θ. – γενόμενος om., restit. al. manu H.

γενόμενος ἀποιδέῃ, ὅκου [1] ἂν μάλιστα ἀποιδέῃ τάμνειν ἐς τὸν νεφρὸν, καὶ ἀφιέναι τὰ πῦα· καὶ ἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσι [2] πᾶσι θεραπεύειν, οἷσι κατὰ τὸ πρόσθεν· καὶ κατ' ἀρχὰς τῆς νούσου [3] δεῖ τε καθῆραι καὶ πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι· καὶ τοῖσι λουτροῖσι [4] μὴ πυκινὰ λουέσθω, ἀλειφέσθω δὲ μᾶλλον, μηδὲ ῥιγούτω, καὶ τοῦ ἡλίου ἀπεχέσθω, [5] καὶ μὴ λαγνευέτω. Ταῦτα ἢν ποιέῃ καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινόν· [6] ἡ νοῦσος γὰρ ὡς χαλεπή. Ἢν δὲ βούλῃ ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχὺν [7] ποιῆσαι ἀπὸ διαίτης ἥν τε ταύτην τὴν νοῦσον κάμνοντα, [8] ἥν τε τῶν προτέρων τινὰ, [9] τὰ σιτία διελὼν, ἃ μεμαθήκει ἐσθίειν, [10] ἤγουν δέκα μερίδας· ἔπειτα μίην ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω, ὄψον δὲ ἐχέτω κρέας ὑὸς τετριμμένον, καὶ περιπατεέτω δέκα σταδίους [11] ταύτης τῆς ἡμέρης· τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ μέχρι τῶν [12] δέκα ἡμερέων ὑποβαίνων μερίδα, ἔλασσω ἐσθιέτω, καὶ περιπατεέτω δέκα [13] σταδίους αἰεὶ πλείω ἑκάστης ἡμέρης· [14] ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου καὶ ἐς τοὺς ἑκατὸν [15] σταδίους, ἐσθιέτω τὴν μίην μερίδα μούνην, καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω [16] τοὺς ἑκατὸν σταδίους, πρὸ τοῦ δείπνου τεσσαράκοντα, μετὰ [17] δὲ τὸ δεῖπνον εἴκοσιν, ὄρθρου δὲ τεσσαράκοντα· οἶνον δὲ πινέτω [18] Μένδαιον, λευκὸν, αὐστηρόν. Ταῦτα [19] δὲ ποιεέτω τρεῖς ἡμέρας· ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων, [20] τῶν σιτίων πλείω ἐσθιέτω, τὸν αὐτὸν τρόπον ὥσπερ ἀφῄρει, [21] οὕτω

[1] Ἢν, al. manu ἂν H. – ἀποιδέοι H. – ἀφυέναι, al. manu φι H. – μὲν om., restit. al. manu H. – ποιήσῃς H. – τοῦτον om., restit. al. manu H. — [2] πάθεσι vulg. – πᾶσι θ, Lind., Mack. — [3] δεῖται E. – δεῖ τε καθ. καὶ om. (H, al. manu δεῖται καθῆραι) θ. – δὲ pro τε Mack. – καὶ om. E. – La leçon de H et de θ pourrait aussi s'entendre. — [4] μὴ H. – μὴ om. vulg. – πυκνὰ Lind. – λούειν vulg. – λουέσθω EH. – ἀλ. δὲ καὶ θαλπέσθω (καὶ θαλπ. om., H restit. al. manu, θ) μᾶλλον vulg. — [5] μηδὲ pro καὶ μὴ EP'. – μηδὲ pro μὴ FGIJK, Ald. – ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται pro ταῦτα.... καινὸν θ. – ὑγιαίνει H. — [6] ἡ δὲ νοῦσος θ. – γὰρ ὡς om. (H, γὰρ restit. al. manu) θ. – ὡς om. E. – βούλεται vulg. – βούληται GHIJK, Ald., Lind., Mack. – βούλῃ Eθ. – ὑγιὰ (sic) ποιῆσαι pro ἰῆσθαι θ. – χρὴ om. (H, restit. al. manu) θ. — [7] ποιῆσαι om. θ. – ἀπὸ τῆς H. – κάμνῃ θ. — [8] εἴ τε IJK. – ἥν τε τ. πρ. τινὰ om. θ. – προτέρω H. — [9] Post τὰ addunt γοῦν Lind., Mack. — [10] ἤγουν om. (H, restit. al. manu), Lind. – ἤτοι K. – ἤγουν δέκα μερίδας om. θ. – ὄϊος θ. – ὀϊὸς al. manu H. – τετρυμμένον G. – τετρυμένον EHJK. – περιπατησάτω θ. — [11] αἰεὶ πλείω ἑκάστης τῆς ἡμέρης pro ταύτης τῆς ἡμέρης θ, Mack. – δ' EH. — [12] δώδεκα FGJ, Ald. – προστιθεὶς (ὑποβαίνων EHP'Q', Lind.) μερίδα vulg.

une incision jusqu'au rein, et on évacuera le pus. Si l'on réussit dans l'incision, on obtient aussitôt la guérison. Les choses étant ainsi, on traitera le patient par tous les mêmes moyens que dans le cas précédent. Dès le début de la maladie, il faut évacuer et, avant l'évacuation, étuver. Il ne prendra pas des bains fréquents; mais plutôt il s'oindra et se gardera du froid; il ne s'exposera pas au soleil et s'abstiendra du coït. Si vous employez ces moyens et que le patient ne guérisse pas très-vite, il ne faut pas s'étonner; car la maladie est difficile. Voulez-vous traiter le malade sans médicaments? procurez-lui de l'embonpoint par le régime, soit qu'il ait cette maladie, soit qu'il ait l'une des précédentes : partagez ses aliments habituels, par exemple en dix parties; ôtez-en une, et qu'il mange les neuf autres, ayant pour mets de la viande de porc hachée, et, ce jour-là, qu'il fasse une marche de dix stades. Le lendemain et le surlendemain jusqu'au dixième jour, il mangera une partie d'aliments de moins chaque jour, et, chaque jour aussi, il marchera dix stades de plus. Quand il sera arrivé à la dernière part d'aliments et aux cent stades, il mangera cette part seule, et, ce jour-là, il fera les cent stades, quarante avant dîner, vingt après, et le matin quarante. Il boira du vin de Mendes, blanc, astringent. Il en fera autant pendant trois jours; puis, le reste du temps, il retranchera sur les marches, et augmentera les aliments de la même façon qu'il les avait

— [13] σταδίους ἢ πλείω vulg. – σταδίους ἢ πλείω προστιθεὶς K'. – σταδίους αἰεὶ ἢ πλείω E. – σταδίους αἰεὶ (additur ἢ al. manu) πλείω H. — [14] ὅταν FGJK. – δ' θ. – τὴν om. K. – δεκάτην pro ἐσχάτην θ. – τοῦ σιτίου om. θ. — [15] σταδίους βαδιζέτω καὶ (βαδιζέτω καὶ om. θ) ἐσθιέτω (καὶ ἐσθιέτω om., restit. al. manu H) τὴν vulg. – μοῦνον, al. manu μούνην, μερίδα H. – μούνην μερίδα E. – μόνην μερίδα θ. — [16] τοὺς om. EH. – σταδίους om. FGIJ. – πρὸ τοῦ δείπνου τεσσαράκοντα θ, Foes in not., Mack. – πρὸ τ. δ. τ. om. vulg. — [17] μὲν pro δὲ Lind. – ἑξήκοντα pro εἴκοσιν Calvus. — [18] μὲν παλαιὸν pro μένδαιον θ, Mack. – μενδαῖον EH. – μενδήσιον Lind. — [19] δὲ om. E. – ἡμέρας, al. manu μῆνας H. – μῆνας vulg. — [20] καὶ (καὶ om. Lind.) τῶν σ. vulg. – Cette correction est très-bonne. – τὸν δ' αὐτὸν Lind. — [21] οὕτως H. – δὲ (δὴ GIJK, Ald., Frob., Lind.; δὲ om. EHθ, Mack) vulg. – Ante πρ. addit καὶ Lind. – προστιθέτω EHQ'θ, Lind., Mack.

δὴ προστιθείς· [1]τῶν δὲ περιπάτων ἀφαιρείτω μέχρι τῶν δέκα ἡμερέων· ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα, καὶ εὐωχεέσθω σιτία τε καθαρὰ καὶ ὄψα ὡς [2]πιότατα, καὶ τὰ γλυκέα πάντα ξύμφορα αὐτῷ· λαχάνων [3]δὲ καὶ ὀξέων πάντων ἀπεχέσθω καὶ τῶν δριμέων, καὶ ὁκόσα φῦσαν παρέχει· [4]λουέσθω τε πολλῷ καὶ θερμῷ, καὶ μὴ ῥιγούτω. Ταῦτ᾽ ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται.

18. [5]Ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει ἥδε ἡ νοῦσος [6]μεγάλη τῶν φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν [7]ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος ἐς [8]τὸ σφυρὸν τὸ ἐκτὸς τοῦ ποδὸς καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. [9]Τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας [10]συῤῥυῇ· αἱ δὲ φλέβες αὗται αἵματός εἰσι πλήρεες· ἢν οὖν τι παρέλθῃ ἀλλοῖον ἐς αὐτὰς, νοσοῦσι. Τάδε οὖν πάσχει· ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ, ἄρχεται τὴν ὀδύνην παρέχουσα ἐκ τῆς κοτυληδόνος [11]τοῦ ἰσχίου κατ᾽ ἀρχάς· ὁκόσῳ δ᾽ ἂν πλείων χρόνος προΐῃ καὶ ἀπομηκύνηται, ἥ τε ὀδύνη ὀξυτέρη [12]καὶ κατέρχεται κατωτέρω, καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς [13]καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι, [14]καὶ ὁκόταν ἐν τῇ κεφαλῇ στῇ τὸ ἄλγος, πιέζει ἰσχυρῶς, καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλὴν, καὶ οἱ ὀφθαλμοὶ [15]φλέγματος πληροῦνται καὶ τὸ πᾶν σῶμα. Τοῦτον, ὅταν οὕτως ἔχῃ, ἐλατήριον πῖσαι ἢ θαψίης ῥίζαν ἢ ἐλλέβορον ἢ [16]ὀπὸν

[1] Τὸν δὲ περίπατον vulg. – τῶν δὲ περιπάτων EHθ, Mack. – ἀφηρείτω EFGHIJK, Ald. — [2] πλεῖστα pro πιότατα θ. – Post πιότ. addunt ἐχέτω E, ἔχων θ. – αὐτῷ om. (H, restit. al. manu) θ. — [3] ἀπεχέσθω ponunt post δὲ EHθ. – Ante ὀξέων addunt τῶν Eθ. – πάντων om. (H, restit. al. manu) θ. – Post παρέχει addunt πάντων H, ἁπάντων θ. — [4] καὶ λουέσθω sine τε EH (θ, λούσθω). – δὲ pro τε Lind. – καὶ om. K. — [5] In tit. νοῦσος γινομένη ἀπὸ νεφρίτιδος EGHIJK. – ἐκ E (H, al. manu ἀπὸ) θ. – δὲ om. Kθ. – Ante νεφρ. addunt τῆς Hθ. – ἐπιλαμβάνει ponunt post νοῦσος GIJK. – ἡ δὲ (ἥδε EHIJKθ, Lind., Mack) (addunt ἡ EHIJθ, Lind., Mack) νοῦσος vulg. — [6] καί ἐστι μεγάλη θ. — [7] ἐκ E (H, al. manu ἀπὸ) θ. — [8] τὸν J. – ἐκ pro ἐκτὸς E. — [9] γίνεται μὲν (δὲ θ) τὸ νόσ. ἀπὸ Hθ. – εἰς IJ. — [10] ξ. Lind., Mack. – συρρῇ K. – παρέλθῃ EHKθ, Lind., Mack. – παρέλθοι vulg. – ταύτας θ. — [11] ἐς τὸ ἰσχίον θ. – ὁκόσῳ δὲ (δ᾽ ἂν pro δὲ EHP′Q′θ, Lind., Mack) πλείω (πλείων K) ὁ (ὁ om., H restit. al. manu, θ, Mack) χρόνος vulg. – ἀπομηκύνεται GIJK, Lind. — [12] καὶ EHθ. – καὶ om. vulg. – εἰς IJK. – τὰ σφυρὰ E (H, al. manu). – ἐκ pro ἐκτὸς E. — [13] καὶ.... δακτύλου om. (H, restit. al. manu) θ. – ἐς τὴν ῥάχιν ἄρχεται πάλιν (πάλιν ἀνέρχεται θ) καὶ ἐς τὴν κεφαλὴν H (θ, sine ἔρχεσθαι). — [14] καὶ ὁκόταν ἐς αὐτὴν τὸ ἕλκος στῇ (στῇ τὸ ἕλκος IJK) vulg. – καὶ ὁκόταν

diminués ; il accourcira les marches jusqu'au dixième jour ; puis il gardera le repos le plus complet et fera bonne chère, mangeant du pain ou de la polenta sans mélange, des mets très-gras ; toutes les choses douces lui sont bonnes ; il s'abstiendra des herbages, de tous les acides, de toutes les choses âcres, de toutes les choses flatulentes ; il se lavera avec beaucoup d'eau chaude, et ne prendra pas froid. En agissant ainsi, il sera bientôt guéri.

18. (*Maladie rhumatismale ayant de grandes ressemblances avec celle qui est décrite* § 51, *sous le nom d'*ἰσχιὰς, coxalgie. *La maladie est rattachée à l'affection de la grande veine droite qui, suivant l'opinion des plus anciens Hippocratiques, allait de la tête au pied droit. On remarquera le traitement par l'ivresse poussée jusqu'à produire l'épistaxis ou quelque autre flux sanguin.*) A la suite de la néphritide vient la grande maladie des veines creuses qui se rendent de la tête le long du cou par le rachis à la malléole externe du pied et à l'entre-deux du gros orteil. Cette maladie naît du phlegme et de la bile s'écoulant dans les veines ; ces veines sont pleines de sang ; si donc quelque chose d'étranger y pénètre, elles deviennent malades. Voici les accidents : si l'affection est à droite, la veine commence par causer de la douleur dans la cavité de la hanche ; plus le temps dure et le mal se prolonge, plus la douleur devient aiguë ; et elle descend plus bas ; quand elle a gagné la malléole externe et l'entre-deux du gros orteil, elle gagne en sens inverse la tête. Arrivée là, elle devient très-accablante ; il semble au malade qu'on lui fende la tête. Les yeux s'emplissent de pituite ainsi que tout le corps. Les choses étant ainsi, on fera prendre en potion l'élatérion ou la racine de

ἐν τῇ κεφαλῇ στῇ τὸ ἕλκος EHQ' (τὸ ἕλκος στῇ Lind.) (ἄλγος θ, Mack). – πιέζῃ J. – ὁ ἄνθρωπος om. (H, restit. al. manu) θ. – διαρρήσσεσθαι, al. manu γνυσθαι H. – διαρήσσειν θ. — [15] αἵματος θ. – φλ. om., restit. al. manu E. – πίμπλανται EHQ'θ, Lind. – καὶ τὸ πᾶν σῶμα om. θ. – ὁκόταν θ. – οὕτως ὅταν IJ. – πίσαι vulg. – θαψίας K. – ἐλλέβορον EHθ, Mack. – ἐλλεβόρου vulg. — [16] ὀποῦ FG. – σκαμωνίης J. – σκαμμονίης Ald., Frob. – ταὐτὰ K', Lind., Mack. – ταῦτα vulg.

σκαμμωνίης· μετὰ δὲ τὴν κάθαρσιν ταῦτα προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. Ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχύνας καῦσαι [1]κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν τέσσαρας ἐσχάρας, καὶ ἐς τὴν [2]κοτυλίδα τοῦ ἰσχίου τοῦ δεξιοῦ τρεῖς, καὶ ὑπὸ τὸν γλουτὸν δύο, καὶ ἐν [3]τῷ μέσῳ τοῦ μηροῦ δύο, καὶ ὑπὲρ τοῦ [4]γούνατος μίην, καὶ ὑπὲρ τοῦ σφυροῦ μίην. Οὗτος, ἢν οὕτω καυθῇ, [5]οὐκ ἀφήσει οὔτε ἄνω οὔτε κάτω τὴν νοῦσον διαχωρέειν. Ἢν δέ [6]κου ἡ ὀδύνη φθῇ ῥαγεῖσα, ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος πρὶν ἢ [7]καυθῆναι, χωλὸς ἔσται· ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός· ἢν δὲ ἐς τὴν κύστιν, [8]προχωρέει ἅμα τῷ οὔρῳ αἷματος μάλιστα τεσσαράκοντα ἡμέρας. Ἀλλὰ χρὴ, ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ [9]καὶ τῷ στραγγουριῶντι· [10]καὶ ἤν κου ἄλλῃ ἡ ὀδύνη στῇ, καῦσαι· καίειν δὲ χρὴ [11]τὰ μὲν σαρκώδεα σιδηρίοισι, [12]τὰ δὲ ὀστώδεα καὶ νευρώδεα μύκησι. Πλὴν τάδε πρότερον τούτων χρὴ ποιῆσαι· ἢν κατ' ἀρχὰς τῇ νούσῳ παραγένῃ, [13]εἰς μὲν τὸ ποτὸν χρὴ διδόναι οἶνον λευκὸν Μένδαιον ὑδαρέστερον ὡς πλεῖστον μεθ' ἡμέρην, καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμοῤῥαγήσῃ κατὰ τὰς ῥῖνας· [14]ὁκόταν δὲ ἄρξηται, ἐᾷν ῥυῆναι ἡμέρας τὸ ἐλάχιστον δέκα καὶ τρεῖς· ὅταν δὲ αὗται αἱ ἡμέραι [15]διέλθωσι, μηκέτι μεθυσκέσθω, [16]μηδὲ ὅταν ἄρξηται ἅπαξ ῥεῖν· πινέτω μέντοι ὀλίγῳ πλείονα τὸν οἶνον ἐπὶ σιτίῳ, ὅκως ἂν ῥέῃ τὸ αἷμα. [17]Ἤδη δέ τισι παυσαμένου τοῦ αἵματος, ἐῤῥάγη ἐς τὴν κύστιν καὶ ἐχώρησεν αἷμα καὶ πῦα· ἢν [18]γοῦν ῥαγῇ, διδόναι τὰ αὐτὰ

[1] Παρὰ pro κάτω θ. – ὠμοπλάτιν E. — [2] κοτυληδόνα vulg. – κοτυλίδα θ, Lind., Mack. – Gal. Gl. : κοτυλίδα, τὴν κοτύλην τοῦ ἰσχίου ἔν τε τοῖς προκειμένοις τῷ Μοχλικῷ κἂν τῷ δευτέρῳ Περὶ νούσων τῷ μείζονι. — [3] τῷ om., restit. al. manu H. — [4] γόν. EK. – καὶ ὑπὲρ τ. σ. μίην om. θ. — [5] οὐ παρήσει θ. — [6] ποῦ EFGHIJK. – ἔφθῃ vulg. – ὀφθῇ EFGHIJK, Ald., Frob., Lind., Mack. – C'est φθῇ qu'il faut lire. – Gal. Gl. : ῥαγεῖσα δηλοῖ ποτὲ καὶ τὸ ἀθρόως ὁρμήσασα, ὡς ἐν τῷ δευτέρῳ Περὶ νούσων τῷ μείζονι κτλ. – ἐς τὸ σκέλος om. (H, restit. al. manu) θ. – ἢ πρὶν pro πρὶν ἢ E. – ἢ om. (H, restit. al. manu) θ. — [7] καυθῇ E. – Post κ. addunt ἐς τὸ σκέλος EHθ. — [8] καὶ (καὶ om. Lind.) προχωρέει (προχωρέῃ GJ, Ald., Frob.) vulg. – La correction de Lind. est bonne. – Post οὔρῳ addunt καὶ θ, Mack. – μάλιστα om. θ. – ἡμέρησιν θ. — [9] καὶ ἐν τῷ EH. — [10] καὶ ἤν κου ἄλλῃ ἡ ὀδύνη στῇ θ, Mack. – καὶ ἤν κου (που EGHIJK) ἡ (ἡ om. G) ὀδύνη ἀλισθῇ (ὀλισθῇ Lind.; ἁλισθῇ I) vulg. — [11] ἐς μὲν τὰ EH. – ἐν σιδηρίοισι FGIJK. — [12] ἐς δὲ τὰ EHQ'. – μυκίνησι (E, al. manu μύκησι) FGHIJ, Vatic. exempl. ap. Foes, Ald. – πλὴν om., restit. al. manu H. – τούτων πρ. EHIJK. — [13] ἐς Lind. – οἶνον λευκὸν χρὴ (χρὴ om. θ) μενδαῖον (μενδαίον θ) διδόναι πίνειν ὀλίγῳ pro εἰς.... μέν-

thapsie ou l'hellébore ou le suc de scammonée; après l'évacuation on administrera les mêmes choses qu'aux précédents. Si ce traitement ne réussit pas, on lui donnera de l'embonpoint par le régime lacté, et on lui pratiquera quatre cautérisations au bas de l'omoplate droite, trois à la cavité de la hanche droite, deux à la fesse, deux au milieu de la cuisse, une au-dessus du genou, une au-dessus de la malléole. Un tel ensemble de cautérisations ne permet à la maladie de cheminer ni en haut ni en bas. Il peut arriver que la douleur, prévenant le traitement, aille faire explosion quelque part; se fixe-t-elle à la jambe avant la cautérisation? le patient sera boiteux; à la tête, il sera sourd ou aveugle; à la vessie, il rend avec l'urine du sang pendant quarante jours environ. Il faut, si l'explosion se fait sur la vessie, donner les mêmes médicaments qu'on donne dans la strangurie; et, si la douleur se fixe quelque part ailleurs, cautériser. On cautérisera les parties charnues avec des ferrements, les parties osseuses et nerveuses avec des champignons. Toutefois il faut préalablement faire ceci : êtes-vous appelé dès le début de la maladie? vous donnerez pour boisson le vin blanc de Mendes, coupé d'eau, et en grande quantité pendant le jour; le malade se grisera jusqu'à ce qu'il ait une épistaxis; quand le sang commence à couler, on laisse le flux durer au moins pendant treize jours; quand ces treize jours sont passés, le malade ne se grisera plus, ni même dès que le sang a commencé de couler; pourtant il boira, en mangeant, un peu de vin en excès afin que le sang flue. Chez quelques-uns il est arrivé que, le sang s'étant arrêté, l'explosion s'est faite sur la vessie, et le malade a rendu du sang et du pus. Dans ce cas on donne les mêmes

δαιον EHθ. – μενδήσιον Lind. – καὶ μεθυσκέσθω om. θ. – ὡς pro ἄχρις θ. – αἱμορραγίσῃ K. — [14] ὅταν δὲ ἄρξηται, ἐᾶν ῥυῆναι ἡμέρας τὸ ἐλάχιστον τρεῖς καὶ δέκα θ. – ὁκόταν δὲ ἄρξηται ῥέειν, τὸ ἐλάχιστον ἡμέρας ῥέει δέκα καὶ τρεῖς vulg. — [15] γένωνται, al. manu διέλθωσι H. – διαγένωνται θ. — [16] μηδ' EH. – ὁκόταν H. – μέν τι pro μέντοι F. – ἐπὶ τῷ σιτίῳ K. — [17] ἤδη δὲ παυσθέντος τοῦ αἵματος ἐρράγη τισὶν ἐς τὴν κύστιν θ. — [18] οὖν EHK. – πολλὸν pro πλέον EH.

φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι, καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πιεῖν. Οὗτος [1] οὕτω μελετώμενος καὶ [2] τὰ σιτία προσφερόμενος διαχωρητικὰ καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπή.

19. [3] Ἄλλη ἀπὸ τῆς ἀριστερῆς φλεβός· τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν· ἐς δὲ τὸν σπλῆνα ὀδύνη ἐνστηρίζει ὀξείη εὐθὺς καταρχὰς τοῦ νουσήματος· καὶ [4] ἢν μὲν ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ ἐς τὸν σπλῆνα, μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιστα· καὶ ὅκου ἂν [5] ἄλλῃ ἡ ὀδύνη καταστηρίξῃ, καῦσαι, καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. [6] Ἢν δὲ μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταὐτομάτου, τοῖσι πολλοῖσι μετὰ δυοκαίδεκα ἔτη ἡ νοῦσος αὖθις ὑπετροπίασε, καὶ ἢν λάβηται τοῦ σπληνὸς, τοῖσι πολλοῖσιν ὕδερον ἐποίησεν. Ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὴν πρόσθεν, καὶ ἢν δοκέῃ, καῦσαι [7] ὥσπερ δὴ καὶ τὸν πρότερον, ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν· ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν τηκόμενος θνήσκει· ἡ γὰρ νοῦσος χαλεπή.

20. [8] Περὶ δὲ τοῦ φλέγματος τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς, ἰδέας αὐτοῦ πολλὰς εἶναι. [9] Καὶ ἐπιδήμιον μέν ἐστι τὸ νεώτατον ἑωυτοῦ, καὶ ἡ ἴησις ῥάστη· ἐμέτους γὰρ [10] δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον, ἡμέρας δύο ἢ τρεῖς προσαριστῶντα καὶ ἡσυχάζοντα, ἢν εἰώθῃ τὰς πρόσθεν ἡμέρας μονοσιτέειν καὶ ταλαιπωρέειν· [11] ἢν δὲ μὴ,

[1] Οὕτως GI. — [2] τὰ om., restit. al. manu H. – γίνεται EH. – γένοιτο θ. — [3] ἄλλη δὲ (H, δὲ obliter. al. manu) Iθ. – ἄλλη νοῦσος I. – στερῆς, al. manu ἀριστερῆς H. – φλεϐὸς om. θ. – χειρὸς pro φλ. EJP'Q'. – [διὰ] πλήθους Lind. – ὀδύνη στηρίζει (στηρ. ὀδ. E; ἐνστηρίζει θ) vulg. – καὶ (καὶ om. EH) καταρχὰς vulg. – νοσ. EGIJK, Frob. — [4] ἢν (addunt μὴ FGHIJK, Ald., Frob., Lind., Mack; μὲν E) ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ (καταστηρίξει IK) ἀλλ' (κἀλλ' sic J) ἢ (ἢ EHIJK; ἴῃ Martinus) (ἀλλ' ἢ om. θ) ἐς (ἁλίσκει pro ἀλλ' ἢ ἐς Lind.) τὸν πνεύμονα (πλ. EH; σπλῆνα θ), (addit τοῦτον Lind.) μύκησι (μυκῆσι Frob.) καῦσαι vulg. – Je prends la leçon de θ. — [5] ἄλλη vulg. – Lisez ἄλλῃ. – ἡ θ. – ἡ om. vulg. – καταστηρίζῃ EH. – στηρίξῃ θ. — [6] εἰ H. – τοῦ αὐτομάτου EH. – πουλλοῖσι G, Frob. – πουλοῖσι Ald. – δυωκαίδεκα I. – δύο καὶ δέκα J. – δυοδεκάτω ἔτει sine μετὰ EH (θ, δωδεκάτω), (P'Q', Lind., δυοκαιδεκάτῳ). – αὖτις EH. – ὑποτροπίασεν (sic) K. – ὑπετρ. καὶ ἢν λάϐ. om. Ald. — [7] ὅπως περ H. – δὴ καὶ om. (H, restit. al. manu) θ. – ἕτερον θ. – ἡ om., restit. al. manu H. – φθειρόμενος E (H, al. manu τηκόμενος) P'Q'θ, Lind., Mack. — [8] In tit. περὶ τῶν τοῦ φλέγματος εἰδέων (EK, ἰδεῶν) GHIJ. – δὲ om. E. – χολῆς, καὶ (καὶ om. EHK) φημὶ τὰς (καὶ φημὶ τὰς om.

médicaments que dans la strangurie, et on fait boire copieusement du même vin. Le malade, ainsi traité et prenant des aliments de céréales et des mets relâchants, guérira très-vite. Mais la maladie est difficile.

19. (*Cette maladie est la même que la précédente; seulement elle est rattachée à l'affection de la grande veine gauche qui va de la tête au pied gauche.*) Autre maladie venant de la veine gauche : le patient éprouve en général les mêmes accidents que dans le cas précédent; mais une douleur aiguë se fixe à la rate tout d'abord dès le début de la maladie. Si vous comprenez sur-le-champ le mal avant qu'il s'établisse dans la rate, pratiquez au plus vite avec les champignons huit cautérisations qui interceptent les extrémités de la rate; et, en quelque autre lieu que la douleur se fixe, cautérisez, et vous rendrez aussitôt la santé au patient. S'il n'est pas cautérisé et qu'il guérisse spontanément, il arrive souvent qu'il y a une rechute au bout de douze ans; et, si le mal se porte sur la rate, il produit chez la plupart une hydropisie. Il faut donc sur-le-champ traiter comme dans le cas précédent, et, en cas qu'on le juge convenable, cautériser ainsi qu'il a été dit plus haut, si la douleur s'est fixée sur les mêmes parties. Quand le patient n'a pas été ainsi traité, il meurt de consomption; car la maladie est difficile.

20. (*Leucophlegmasie récente.*) J'ai sur le phlegme la même opinion que sur la bile, à savoir qu'il y en a plusieurs espèces. Le phlegme le plus récent est celui qui règne suivant la saison; et le traitement en est le plus facile. D'abord on provoquera le vomissement après le manger, le malade ayant soin pendant

θ) ἰδέας (εἰδέας sic IJ) αὐτοῦ (αὐτοῦ om. θ) (ἰδέας αὐτοῦ φημι sine τὰς E; ἰδέας φημὶ sine τὰς et sine αὐτοῦ, al. manu ἰδέας αὐτοῦ φημὶ H) πολλὰς vulg. — [9] καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ νεώτατον· οὗ (οὗ om., restit. al. manu H) καὶ ἡ vulg. – καὶ ἐπιδήμιον μέν ἐστι τὸ νεώτατον ἑωυτοῦ, καὶ ἡ θ. — [10] χρὴ EH. – μετὰ σῖτον, al. manu τὸ (sic) H. – σῖτον FGJ. – προαριστῶντα E. – εἰώθει K. – εἴωθεν θ. – μονοσιτέεσθαι H. – ταλαιπωρεῖν E. – ταλαιπωρέεσθαι θ. — [11] ἢν (εἰ EH) δὲ μὴ, τοιαύτῃ (τῇ αὐτῇ EH) διαίτῃ χρεέσθω (χρήσθω K)· πρῶτον (πρῶτον om., H restit. al. manu, θ; πρῶτα E) λουέσθω (λούσθω HIK) (addit δὲ θ) πολλῷ vulg.

τῇ αὐτῇ διαίτῃ χρεέσθω, λουέσθω δὲ πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι· [1]καὶ ἐσθιέτω μᾶζαν ψαιστὴν, καὶ ἄρτον ἔξοπτον ἔωλον· ἕλκοι γὰρ ἂν μᾶλλον ταῦτα τὸ φλέγμα· ὄψοισι δὲ χρεέσθω καὶ λαχάνοισι δριμέσι, καὶ τὰ λιπαρὰ [2]καὶ τὰ γλυκέα καὶ τὰ ὀξέα, ταῦτα πάντα ἐπιτήδεια [3]ξυμμεμιγμένα προσφέρεσθαι· [4]καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρεέσθω, καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον πυκινὰ οἶνον γλυκὺν, καὶ πλακοῦντος ἐπιφαγέτω ἐπὶ τελευτῆς καὶ μέλι καὶ σῦκα, καὶ ὁκόταν δειπνήσῃ, πινέτω λαύρως τὰς κύλικας, καὶ ὁκόταν [5]ἤδη πλήρης ᾖ, κατακοιμηθήτω ὀλίγον, εἶτα ἐπεγερθεὶς ἐμεέτω πιὼν οἴνου μεγάλην κύλικα καὶ [6]ἐν χλιερῷ ὕδατι κεχρημένην· ἕλκει γὰρ μᾶλλον τὸ φλέγμα ἐκ τῶν σαρκῶν [7]καὶ τῶν φλεβῶν, καὶ ξηραίνει μᾶλλον τὸ σῶμα· ἐξεμεέτω δὲ ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ, ὕστατα γὰρ ταῦτα ἐξεμέεται. [8]Ταῦτα μὲν τῇδε· τῇ [9]δὲ ὑστεραίῃ ξυνεχέτω ἑωυτὸν μέχρι δείπνου, καὶ δειπνεέτω ἄρτον αὐτοπυρίτην· [10]τὸ δὲ ὄψον ἔστω ἀπὸ τῶν ἰσχυροτέρων· οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. Αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις.

Ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν [11]ἥδηται τοῖσι σιτίοισιν, εἶτα τὰ σκέλεα βαρύνοιτο, [12]καὶ ἡ χροιὴ μετηλλαγμένη ᾖ, τούτῳ φάναι ἐν τῇ κοιλίῃ φλέγμα τὸ λυπέον εἶναι. Ἀλλὰ χρὴ, ὁκόταν οὕτως ἔχῃ, μέλιτι καὶ οἴνῳ γλυκεῖ καὶ ἐλαίῳ νίτρου ὁκόσον οἷος ἀστράγαλον παραμίξας κλύζειν· ταῦτα γὰρ τῇ φύσει [13]τοῦ ἀνθρώπου εὐμενέστατα ἐς τὸν κλυσμόν· μέτρον δὲ χρὴ ἑκάστου εἶναι, τοῦ μὲν οἴνου κοτύλην, ἡμικοτύλιον δὲ ἐλαίου, καὶ μέλιτος ἴσον. Ἢν δὲ μὴ κλύζειν βούλῃ,

[1] Καὶ μᾶζάν τε ἐσθιέτω EH (θ, τ'). – ψεστὴν vulg. – ψαιστὴν EK', Lind., Mack. – Gal. Gl. : ψαιστὴν μάζαν, τὴν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην· ὅτι καὶ τὰ ψαιστὰ οὕτως δεύεται. – ἕλκει vulg. – ἑλκοῖ HIJK. – ἕλκοι E. – ταῦτα om., restit. al. manu H. — [2] καὶ τὰ ὀξέα καὶ τὰ γλυκέα K. – καὶ ὀξέα vulg. – καὶ τὰ ὀξέα Lind., Mack. — [3] σ. IJK. – προσφερέσθω Lind. — [4] καὶ πᾶσι χλ. τοῖσι λαχ. EH. – τὸ σιτίον K. – πυκνὰ Lind. – πλακοῦντας E (H, al. manu, erat prius πλακοῦντα). – πλακοῦντα θ, Mack. – σύκα HJ. – λάβρως EH. – λαύρω J. — [5] ἤδη om. E. – ἔπειτα θ. — [6] ἐν EFG (H, al. manu) IJKθ, Ald., Lind., Mack. – ἐν om. vulg. – χλιερῶ, al. manu χλια H. – χλιαρῷ vulg. — [7] καὶ τὸν χυμὸν vulg. – καὶ τῶν φλεβῶν E. – ξηραίνοι IJ. – ξηραίνοιτο θ. – ξηραίνοιτο ἂν τὸ EH. – ταῦτα om. θ. – τὰ σύκα pro ταῦτα H. — [8] [καὶ] ταῦτα Lind. – μὲν τῇδε om. θ. — [9] δ' EH. – ἐν ἡσυχίῃ ἐχέτω θ. – συνεχέτω vulg. – ξ. G, Lind. – ἑαυτὸν E. – δειπνεέτω δὲ sine καὶ EHQ'. – ἄρτον τὸν αὐτὸν πυρὶ FG (H, al. manu αὐτοπυρίτην) IJ (K, Ald., πυρίτην pro πυρί). – ἄρτον τὸν E. — [10] ὄψον δὲ ἐχέτω sine τὸ EHP'Q'θ, Lind., Mack. – ἀπὸ om. EH. — [11] καὶ ἥδεται vulg. – Il faut supprimer ce καὶ, né du voisinage des autres καὶ, et

deux ou trois jours de déjeuner et de garder le repos, s'il avait l'habitude de ne faire qu'un repas et de travailler; sinon, il suivra le même régime, mais il se lavera avec beaucoup d'eau chaude, au moment de procurer le vomissement. Il mangera de la polenta pétrie avec le miel et l'huile, un pain bien cuit de la veille; ces substances attirent en effet davantage le phlegme; il prendra des mets et des légumes âcres, les choses huileuses, les choses douces, les choses acides; toutes, mélangées, lui conviennent; il mangera de tous les légumes verts. Il boira, par-dessus, en petite quantité et souvent un vin doux; à la fin, il mangera du gâteau, du miel, des figues; en dînant, il videra largement les verres, et, étant rempli, il dormira un peu; puis, réveillé, il vomira, avalant un grand verre de vin coupé d'eau tiède; car c'est ainsi que le phlegme est mieux attiré hors des chairs et des veines et que le corps est mieux desséché. Il vomira jusqu'à ce qu'il rende les figues; car elles sortent les dernières. Voilà pour cette fois; le lendemain, il se tiendra tranquille jusqu'au dîner, où il mangera du pain bis; pour mets il aura des substances fortes; il boira un vin noir astringent. Tel est le traitement du phlegme qui règne par saison. Si, conservant la faculté de boire et de manger, le malade prend avec plaisir les aliments, puis s'il se sent les jambes lourdes, et qu'il ait la couleur changée, dites que ce qui cause son mal c'est du phlegme dans le ventre. Les choses étant ainsi, prenez du nitre gros comme un osselet de mouton, mêlez avec du miel, du vin doux et de l'huile, et faites un lavement; ces substances sont en effet ce qu'il y a de plus doux en lavement pour le corps humain; les doses sont, vin une cotyle,

lire ἥδηται. — [12] κἂν vulg. – καὶ θ, Mack. – μετηλαγμένη E. – οὕτω E. – Ante μέλιτι addunt ζεῖν EP'; καὶ ζεῖν H. – ἐλαίου J. – καὶ νίτρου vulg. – Il faut effacer ce καὶ, né du voisinage des autres καί. – ὅσον K. – ὁκόσον om. E. – Post ὁκόσον addunt κλείει (E, κλύει, al. manu κλύζει) FGHIJK, Ald. – ὅῖος Lind., Mack. – ἀστράγαλος vulg. – ἀστράγαλον E. – παραμίξας ponunt ante ὁκόσον (E, et eadem manu post ἀστρ.) (H, al. manu post ἀστρ.). – κλύζειν om. EFGHIJK, Ald. — [13] εὐμενέστατα τῶν ἀνθρώπων (EJK, τοῦ ἀνθρώπου HI. – εἰς vulg. – ἐς EHK.

δίυγρον χρὴ [1]τὸν ἄνθρωπον ποιῆσαι, πυρτήσαντα ἐν ὑγρῇ τῇ πυρίῃ· τάχα γὰρ ἂν καὶ οὕτως ὑποκενωθείη ἡ κόπρος· ὑπὸ γὰρ τῆς [2]ὑπερξηρασίης τῶν σιτίων ταῦτα πάσχει· ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία λίην ἔγχυλα, οὐκ ἂν ἴσως πάσχοι ταῦτα οὕτω σφόδρα· [3]εἰ δὲ καὶ πάσχοι ποτὲ, ὀλίγης ἂν ἰήσιος δέοιτο. Τοῦτο οὕτως ἰώμενος τάχιστα ἂν ὑγιέα ποιήσαις.

21. [4]Ἢν δὲ τύχῃ παλαιότερον ἐὸν τὸ φλέγμα, λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα, πάσχει τάδε· βαρύνει τὸν ἄνθρωπον μᾶλλον, καὶ ἰδέην ἀλλοίην ἔχειν τοῦ ἐπιδημίου δοκεῖται, ὠχρότερός τέ ἐστι, [5]καὶ οἰδέει οἰδήματι πᾶν τὸ σῶμα, καὶ τὸ πρόσωπον ἐρεύθει, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα [6]ἐπέχει, καὶ ὁκόταν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει αὐτῷ· οὗτος τῆς αὐτῆς ἡμέρης ποτὲ μὲν γίνεται ῥάων, ποτὲ δὲ πονέει ἐξαπίνης, καὶ δοκέει ἀποθανέεσθαι. Τούτῳ ἢν μὲν ἡ γαστὴρ [7]αὐτομάτως ταραχθῇ, ἐγγυτάτω ὑγιὴς ἔσται· ἢν [8]δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν δεῖ διδόντα τοῦ κνεώρου ἢ τοῦ ἱππόφεω ἢ τοῦ κνιδίου κόκκου ἢ τῆς Μαγνησίης λίθου, καὶ μετὰ τὴν κάθαρσιν φακῆς δοῦναι τρυβλίον ῥοφέειν ἓν ἢ δύο, [9]συνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα, καὶ τεύτλου λιπαροῦ ἀνηδύντου, ἀλφίτων περιπάσσοντα, δοῦναι τρυβλίον· πινέτω [10]δὲ οἶνον μέλανα αὐστηρόν τε καὶ ἰσχυρόν. Τῇ δὲ ὑστεραίῃ [11]βαδιζέτω σταδίους εἴκοσι τὸ ἑωθινόν· ἐλθὼν δὲ φαγέτω ἄρτον μικρὸν ἔξοπτον, καὶ ὄψον ἐχέτω σκόροδα ἑφθά· καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον· εἶτα βαδιζέτω σταδίους τριήκοντα, καὶ ὁκόταν ὥρη [12]ᾖ, δειπνεέτω ὁκόσον

lui. Il a bonne envie d'aller et de venir; mais, à cause de la faiblesse, les jambes se dérobent sous lui. Il a beaucoup de soif. Cette maladie n'est guère moins dangereuse que la précédente; mais elle se prolonge davantage si la guérison ne vient pas dans les sept jours. La maladie se prolongeant et arrivant au huitième jour ou au neuvième, le malade s'alite, le mal et la souffrance l'accablent davantage, il ne peut se lever; et la plupart, dans cet intervalle, succombent soudainement. Les choses étant ainsi, si vous êtes présent dès le début de la maladie, quand déjà les sept jours sont passés, administrez l'hellébore; puis évacuez le ventre inférieur avec le suc indiqué dans le cas précédent, et donnez les autres mêmes médicaments. Donnez aussi les cantharides, sans les ailes et la tête; pilez-en quatre, faites-les macérer dans une demi-cotyle de vin blanc, ajoutez un peu de miel, et faites prendre cette préparation deux ou trois fois par jour. La maladie avançant, le malade sera mis aux bains et aux étuves; il mangera ce pour quoi il a du goût; il boira un vin blanc, astringent, et du reste usera des mêmes choses que précédemment. Cette maladie est longue et difficile, à moins qu'elle ne soit bien traitée dès le début.

37. (*Autre ictère.*) Autre ictère : celui-ci est dit épidémique, parce qu'il survient en toute saison; il est produit surtout par la réplétion, les excès de vin et après un refroidissement. Dès le premier moment le corps change de couleur et devient jaune; les yeux jaunissent fortement; la maladie va sous les cheveux et sous les ongles. Il y a frisson et fièvre sourde. Le malade est faible. La tête est douloureuse; l'urine est jaune et épaisse. Cet ictère est moins dangereux que les précédents, et guérit s'il est traité hâtivement. Les choses étant ainsi, on tirera du sang aux plis des bras; puis, après une étuve préalable, on administrera l'élatérion; derechef, le troisième jour, on évacuera

K. - ἐπέρχεται FHJK, Ald. - προέρχεται θ. — [12] ἀσθενείη θ. - ὀδύνην J. - καὶ οὖρ. ὠχ. καὶ παχὺ om. θ. — [13] ἐξέρχεται (H, al. manu θεραπεύεται) θ. - σχάσειν θ.

ριήσας πῖσαι ἐλατήριον· κάτω δὲ αὖθις ὑποκαθῆραι τῇ τρίτῃ ὀνείῳ γάλακτι. Τὰ δὲ ἄλλα ῥοφήματά [1] τε καὶ πόματα καὶ ἐδέσματα τὰ αὐτὰ διδόναι ἃ καὶ τῷ πρόσθεν, καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινὰ, καὶ ἀπὸ [2] χαραδρίου πίνειν, καὶ λούειν αὐτὸν πολλῷ καὶ θερμῷ, [3] καὶ ξύων τὴν σάρκα ἐν οἴνῳ λευκῷ διδόναι πίνειν, καὶ ἐς τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ ἐν τάχει ὑγιὴς ἔσται.

38. [4] Ἄλλος ἴκτερος· γίνεται μὲν ἀπὸ φλέγματος, ἐπὶ δὲ χειμῶνος μάλιστα ἐπιλαμβάνει, καὶ ἡ χροιὴ αὐτέου λευκὴ, καὶ τὰ στήθεα αὐτέου πλήρεα [5] γίνεται φλέγματος, καὶ ἀποπτύει τὸ σίαλον πουλὺ, καὶ ὁκόταν ἀποχρέμπτηται, λυγμὸς αὐτῷ γίνεται, καὶ οὐρέει λευκὸν καὶ παχὺ, καὶ [6] ὑπ' αὐτῷ ὑφίσταται ὁκοῖον ἄλευρον. Οὗτος ὁ ἴκτερος οὐκ ἔστι θανατώδης καὶ ἐν τάχει ὑγιαίνεται. Τοῦτον, [7] ὁκόταν οὕτως ἔχῃ, πῖσαι κνίδιον κόκκον, καὶ μετὰ τὴν κάθαρσιν [8] πτισάνης χυλὸν, μέλι παραχέας, δοῦναι ἐκροφέειν τέσσαρας κοτύλας· τὴν [9] δὲ ἄνω κοιλίην ἐμετοποιεύμενος καθαρὴν παρεχέτω ὡς ἐν τῇσι πρόσθεν· οὕτω γὰρ ἂν ῥῇϊστα τὸ φλέγμα [10] ἀπαγάγοι τοῦ πλεύμονος καὶ τῶν ἀρτηριῶν· καὶ ἀναγαργαρισμὸν σκευάζειν αὐτῷ θαμινά. Οὗτος ἐνίοτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ, καὶ φρίκη λεπτὴ ἐπιγίνεται. Καὶ [11] τἄλλα μελετῇν οἷσι καὶ τοὺς πρόσθεν ἰκτέρους, καὶ φαρμάκοισι καὶ πυρίῃσι καὶ λουτροῖσι καὶ ἐδέσμασι καὶ ποτοῖσι καὶ ῥοφήμασιν· οὕτω γὰρ ἂν μάλιστα ὑγιέα ποιήσειας.

39. [12] Νούσημα ὅπερ καλεῖται τῦφος· [13] τῦφος μὲν τοῦτο τὸ νούσημα καλέεται· [14] ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. Εὐθέως οὖν αὐτὸν πυρε-

[1] Τε om. EHK. – ἃ om., restit. al. manu H. — [2] χαλαρίου vulg. – χλιαροῦ Calvus. – χυλαρίου E, Cornar. – χαραδρίου Lθ, Foes in not. ex conject. Opsopæi, Lind., Mack. — [3] καὶ om. K. – Ante τὴν σάρκα addit χυωνίου χαραδρίου θ. – Mack suppose que χυωνίου est pour ξύων τοῦ, et il a mis dans son texte καὶ ξύων τοῦ χαραδρίου τὴν σάρκα. – πίνειν om., al. manu πιεῖν H. – τἄλλα E. – ἐν τάχει om. FGIJ. — [4] ἄλ. ἴκτ. om. H. – τῆς δὲ ὥρης pro ἐπὶ δὲ EHK. – αὐτοῦ E. — [5] γίνονται E. – πτύει vulg. – ἀποπτύει θ, Mack. – πουλὺ θ, Mack. – πουλὺ om. vulg. – ἀποχρέμψηται θ, Mack. – ἐμπίπτει pro γίνεται θ. — [6] ἐπ' αὐτῷ ἐφίσταται θ. – ὑφύσταται (sic) E. – ἥκιστα θανάσιμος pro οὐκ ἐστὶ θαν. EHKθ. — [7] ὅταν EHK. — [8] πτισσ. E. — [9] δὲ om. J. – ἔμετον οιεύμενος E. – κάθαρσιν (καθαρὴν θ) vulg. – τοῖσι pro τῇσι θ. — [10] ἀνάγει ἀπὸ τοῦ θ. – πν. FHJK. – καὶ ἀναγαργ. δὲ αὐτῷ σκευάζειν θ. – πυρετταίνει GIJ, Ald., Frob., Lind. — [11] τὰ ἄλλα EHK. – μελετεῖν K. – Ante οἷσι addunt τοῖσιν αὐτοῖσιν EHKθ. – πρώτους pro πρόσθεν θ. – γὰρ om. FGHI. – ἂν EFG

par le bas à l'aide du lait d'ânesse. Du reste, on donnera les mêmes potages, boissons et aliments qu'au précédent. On purgera la tête fréquemment. Le malade boira la décoction du charadrius (*un pluvier*); il sera lavé avec beaucoup d'eau chaude; la chair de l'oiseau sera hachée et donnée à prendre dans du vin blanc. Pour tout le reste, il usera des mêmes choses, et guérira promptement.

38. (*Autre ictère.*) Autre ictère : il provient du phlegme, et attaque surtout en hiver. La couleur est blanche; la poitrine se remplit de phlegme. Le malade expectore beaucoup; et quand il expectore, il est pris de hoquet. L'urine est blanche et épaisse, et dépose un sédiment semblable à de la farine. Cet ictère n'est pas mortel et guérit promptement. Quand les choses sont ainsi, on administre le grain de Gnide, et, après la purgation, la décoction d'orge avec addition de miel, à la dose de quatre cotyles; pour le ventre supérieur, on le nettoye par le vomissement, comme précédemment. C'est, en effet, de cette façon que le phlegme est le plus aisément chassé du poumon et des artères. On prépare fréquemment ainsi un gargarisme. Ce malade a parfois une fièvre sourde, et il survient un frisson léger. Du reste, on le traite comme les précédents ictères, en fait de médicaments, d'étuves, de bains, d'aliments, de boissons et de potages. C'est ainsi surtout que vous le guérirez.

39. (*Cette maladie paraît être une variété de causus ou fièvre ardente.*) Maladie dite typhus : cette maladie se nomme typhus; elle attaque en été, quand la constellation du Chien se lève, la bile étant mise en mouvement dans le corps. Aussitôt surviennent des fièvres fortes et une chaleur aiguë; la pesanteur rend

HIJK, Ald., Frob. – ὡς pro ἂν vulg. – τάχιστα pro μάλιστα θ. – ποιήσεις vulg. – ποιήσης E. – ποιήσαις J. – ποιήσειας θ. — [12] ὃ τίφος pro ν. ὅπερ καλ. τῦφος θ. – νόσ. EK. – ὅπερ καλεῖται om. EHIJK. – τύφος ubique vulg. – τίφος ubique GHIJθ. — [13] τόδε τὸ νόσημα (νούσ. K) τίφος καλέεται (E, τύφος) HK. – τοῦτο om. FGIJ, Ald. — [14] τὸ νούσημα ἐπιλαμβάνει θέρεος ὥρῃ θ. – ἐν om., restit. al. manu H. – κατὰ pro ἀνὰ θ. – αὐτὸν om. (H, restit. al. manu) θ.

ται ἔχουσιν ἰσχυροὶ καὶ καῦμα ὀξὺ, καὶ [1]ὑπὸ τοῦ βάρεος ἀσθενείη καὶ ἀχρησίη τῶν σκελέων, [2]καὶ ἐκ τῶν χειρῶν ἄχρειος μάλιστα γίνεται· καὶ ἡ γαστὴρ ταράσσεται, καὶ τὰ ὑποχωρέοντα δυσώδεα, καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. Ταῦτά τε πάσχει, καὶ ἤν τις [3]ἀναστῆσαι θέλῃ αὐτὸν, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ἀνορῆν δύναται ὑπὸ τοῦ καύματος, καὶ ἤν τις αὐτὸν [4]ἐρωτᾷ, ὑπὸ τοῦ πόνου ἀκούων οὐ δύναται ἀποκρίνασθαι. Ὁκόταν δὲ μέλλῃ [5]ἀποθνήσκειν, ὀξύτερά τε ὁρῇ καὶ φθέγγεται θαρσαλέως, καὶ πιέειν καὶ φαγέειν αἰτέει, καὶ ἢν [6]δῷ τις καὶ φάγῃ, ἐν τάχει ἀφῆκε τὴν ψυχὴν, [7]ἢν μὴ ἐξεμέσῃ. Τούτῳ ἡ νοῦσος αὕτη κρίνεται ἐν ἑπτὰ ἡμέρῃσιν ἢ [8]δεκατέσσαρσι· πολλοὶ δὲ [9]διατρέχουσι καὶ ἐς τὰς εἰκοσιτέσσαρας· [10]ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται· καὶ γὰρ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι δηλοῦται [11]εἰ θανάσιμος ἢ οὔ. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, [12]ὧδε ἰῆσθαι· ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων λουτροῦ μὲν ἀπέχεσθαι, ἀλείφειν δὲ οἴνῳ καὶ ἐλαίῳ χλιαίνων ἐς κοίτην, καὶ σιτίων ἀπέχεσθαι· ῥοφήματα δὲ λεπτὰ [13]ψυχρὰ διδόναι· οἶνον δὲ πινέτω μέλανα, αὐστηρὸν, ἢν ξυμφέρῃ αὐτῷ· ἢν δὲ μὴ, [14]λευκὸν, αὐστηρὸν, ὑδαρέστερον· ἢν δὲ δίψα ἰσχυρὴ πιέζῃ, [15]τοῦ ὕδατος ἀθρόον διδοὺς πίνειν, κέλευε ἐξεμέειν, ταῦτα δὶς ἢ τρὶς ἐφεξῆς ποιήσας, καὶ ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκεα βάπτων ὕδατι ψυχρῷ προστιθέναι, [16]ᾗ ἂν μάλιστα φῇ καίεσθαι· ἢν δὲ φρίκην ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. Οὗτος [17]ὁκόταν μάλιστα πονέῃ, ὑπὸ τῆς ὀδύνης αἴφνης κινδυνεύσει τότε ἀφεῖναι τὴν ψυχήν· ἀλλὰ διδόναι [18]χρὴ αὐτῷ τῆς ὀδύνης τὰ

[1] Ὑπὸ θ. – ἀπὸ vulg. – ἀκρασίη H. – ἀκρατίη (E, al. manu ἀχρησίη) K. – ἀκρισίη J. — [2] καὶ τῶν χειρῶν· ἄχρεια (ἀχροία sic K) γὰρ μάλιστα γίνεταί οἱ vulg. – καὶ ἐκ τῶν χειρῶν ἄχρειος γίνεται μάλιστα θ. – τε om. J. — [3] ἀναστῆσαι θέλῃ αὐτὸν om. θ. – ἀναστῇ, al. manu ἀναστῆσαι θέλῃ H. – ὁρῆν J. — [4] ἐρωτῇ EK. – Post ἐρ. addit τι θ. – ἀκούων θ. – ἀκ. om. vulg. — [5] ἀποθανεῖσθαι, ὀξύ τε ὁρᾷ θ. — [6] δῷ τις καταφαγεῖν, ἐν τάχει μεθῇ καὶ (καταλιπὼν pro καὶ Lind.) τὴν ψυχὴν vulg. – δοῖ (δῷ Mack) τις καὶ φάγῃ, ἐν τάχει ἀφῆκε τὴν ψυχὴν θ, Mack. — [7] εἰ EH. – ἀπεμέσῃ θ, Mack. – αὕτη om. θ, Mack. — [8] τεσσαρεσκαίδεκα θ, Mack. — [9] διαφεύγουσι θ, Mack. – τέσσαρας καὶ εἴκοσιν θ, Mack. — [10] εἰ IJ. – οὖν EHθ. – διέλθοι EIJ. – ἐκφύγῃ θ, Mack. – διαφύγῃ, al. manu διέλθοι H. – ἐν δὲ pro καὶ γὰρ ἐν EHQ', Lind. – ἐν γὰρ pro καὶ γὰρ ἐν θ, Mack. – διαδηλοῖ E (H, al. manu οῦται) P'Q'θ, Lind., Mack. — [11] ἢ, al. manu εἰ H. – ἢν E. — [12] ὧδ' EH. – χλιήνας EH. – ἀπέχειν, al. manu χεσθαι H. – ῥυφ., al. manu ῥοφ. H. — [13] καὶ (καὶ om. EFGHIJ, Vatic. exempl. ap. Foes, Ald.) ψυχρὰ vulg. – ἀποψύχων pro ψυχρὰ H. – πινέτω δὲ οἶνον EH. – αὐτῷ om. (H, restit. al. manu) θ. — [14] Ante λευκὸν

les jambes faibles et impotentes; les bras surtout cessent leur usage. Le ventre se dérange; les selles sont fétides, et il y a de fortes tranchées. Tels sont les accidents; et, quand on veut lever le patient, il ne peut se tenir debout; la force de la chaleur l'empêche de voir; et, interrogé, il lui est impossible, quoiqu'il entende, de répondre à cause de la souffrance. Sur le point de mourir, sa vue devient plus perçante, il parle avec décision, il demande à boire et à manger; et, si on lui en donne, il rend promptement l'âme, à moins qu'il ne revomisse. Cette maladie se juge en sept jours ou en quatorze; beaucoup vont même jusqu'aux vingt-quatre; si le malade les passe, il guérit; car c'est dans cet intervalle que se montre si le cas est mortel ou non. Les choses étant ainsi, voici le traitement: dans les premiers jours on interdira le bain; on fera des onctions chaudes avec le vin et l'huile pour le moment de se mettre au lit; on défendra les aliments solides; on donnera des potages légers, froids; le malade boira un vin noir, astringent, si cela lui est bon; sinon, un vin blanc, astringent, coupé d'eau; s'il est tourmenté par une soif vive, il prendra de l'eau en quantité pour revomir; opération qu'il fera deux ou trois fois de suite. Quand la chaleur le tient, trempez des linges dans l'eau froide et appliquez-les là où il dit ressentir la plus forte chaleur. Quand le frissonnement se fait sentir, cessez les applications froides. Le malade, quand il souffre le plus, est exposé, par la force de la douleur, à rendre l'âme soudaine-

addit ἀλλὰ H. – λευκὸν ὑδαρὸν (ὑδαρέα P'Q', Lind., Mack) αὐστηρὸν vulg. – λευκὸν αὐστηρὸν ὑδαρέστερον (E, ὑδαρέα) FHIJθ. — [15] τοῦ καύματος (ὕδατος θ) vulg. – πιεῖν θ. – ταῦτα om. GIJ. – ἐφεξῆς EHθ. – ἐφεξῆς om. vulg. – ποιῆσαι EHθ. – ῥάκια Lind., Mack. — [16] ἦν pro ἢ ἂν EFGHIJ, Ald. – φρίσσῃ pro φρίκην ἔχῃ EH (θ, φρίξῃ). — [17] ὁκόταν πονῇ μάλιστα ἀπὸ τῆς τοιαύτης (τοι. om. H) ὀδύνης vulg. – ὁκόταν μάλιστα πονέῃ ὑπὸ τῆς ὀδύνης θ. – αἴφνης om. (H, restit. al. manu) θ. – κινδυνεύσει καταλιπὼν (ἀπιέναι EQ'; ἀφιέναι P') τὴν ψυχὴν vulg. – κινδυνεύσει τότε (τότε obliter. al. manu H) ἀπιέναι (ἀφεῖναι θ; καταλιπεῖν al. manu H) τὴν ψ. Hθ. — [18] χρὴ om. (H, restit. al. manu) θ. – μετὰ σπουδῆς om. (H, restit. al. manu) θ. – τῷ om. G, Ald. – δ' EH. – διαφυγγάνουσιν EP'Q', Lind. – ἐκφυγγάνουσιν θ. – φυγγάνουσιν, al. manu διαφυγγάνουσιν H.

φάρμακα μετὰ σπουδῆς τὰ αὐτὰ ἃ καὶ τῷ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. Ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίῳ καὶ ποτῷ καὶ λουτροῖσιν ὡς τάχιστα· ἡ γὰρ νοῦσος χαλεπὴ, καὶ παῦροι διαφεύγουσιν.

40. Ἄλλος [1]τῦφος· ἐπιλαμβάνει μὲν τὸ νούσημα πάσην ὥρην· γίνεται δὲ δι' ὑγρασίην τοῦ σώματος, ὁκόταν τὰ σιτία ὑγρὰ ἐόντα καὶ τὸ ποτὸν [2]πουλὺ αἱ σάρκες ἀναπίωσι καὶ πλαδαραὶ γίνωνται· ἀπὸ τούτων τὸ νούσημα γίνεται μάλιστα. Ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος κατ' ἀρχὰς γινόμενος, καὶ πόνος ἰσχυρὸς ἐν τῇ κεφαλῇ [3]ἐνίσταται, ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι διαλείπων· καὶ ἐμέει σίαλον, καὶ ἐρεύγεται πυκινὰ, καὶ ἀλγέει τὰς χώρας τῶν ὀφθαλμῶν, καὶ τὸ πρόσωπον [4]ἀφύει, καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται· ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα [5]ἀποιδέει, καὶ ἐς τὰ στήθεα καὶ [6]ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη τρέχει, καὶ ἡ γαστὴρ τετάρακται, καὶ τοῖσιν ὀφθαλμοῖσιν [7]ἐσορᾷ ἰσχυρῶς, καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες, καὶ ἐν τῇ φάρυγγι δοκέει ἐνέχεσθαι, [8]καὶ κέρχνει αὐτόν· πολλάκις δὲ καὶ φλεγμαίνει ὁ [9]φάρυγξ. Τοῦτον ὁκόταν [10]οὕτως ὁ πόνος [11]πιέζῃ, ἔστιν ὅτε καὶ ὀρθοπνοίη ἰσχυρὴ ἐμπίπτει, [12]καὶ πολλάκις ἐξαπίνης ὑπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐν ἑπτὰ ἡμέρῃσιν ἢ ἐν δεκατέσσαρσι· πολλοὶ δὲ διαφέρουσι [13]καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. Πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος [14]ἀνῆκε, καὶ δοκέει ὑγιὴς εἶναι· ἀλλὰ φυλάσσεσθαι χρὴ, ἄχρις ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν· ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. [15]Τούτῳ, ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων χρὴ

[1] Τίφος EGHI, Ald. – νόσ. EH. — [2] πολὺ HJ. – γίνονται, al. manu γένωνται H. – γένωνται E. – νόσ. EH. – μάλιστα γίνεται H. — [3] ἐνέστηκεν (H, al. manu ἐνίσταται) θ. – καὶ διαλείπει pro διαλείπων θ. – σίαλα θ. – ἀλγέει post ὀφθαλμῶν EH. — [4] ἀφιεῖ, al. manu ὕει H. – Gal. Gl. : ἀφύει, ἀπολευκαίνεται. — [5] ἐποιδ., al. manu ἀποιδ. H. — [6] ἐς om. E. – Post ἐνίοτε addit δὲ καὶ H. – ἐς τὸ μετάφρενον ἡ ὀδύνη ἔχει· ἐνίοτε δὲ καὶ ἡ γαστὴρ θ. – ἔχει E (H, al. manu τρέχει). — [7] ἐξορίσαι vulg. – ἐξορᾶται conj. Foes in not. – ἐξορῆται Lind. – ἐσορᾷ θ, Mack. – Post δοκέει addit τι θ. — [8] καὶ κέρχνειν αὐτὴν τοῦτο· ὁκόταν οὕτως ἔχῃ, ὁ πόνος πιέζῃ θ. – κέρχει (H, al. manu κέρχνει) IJ. — [9] λάρυγξ J. – τοῦτον EGHIJ. – τοῦτο vulg. – οὗτος Mack. – ὅταν EH. — [10] οὕτως ἔχῃ καὶ οὕτως (ἔχῃ καὶ οὕτως om. EH) (οὗτος Lind., Mack) ὁ πόνος vulg. — [11] πιέζῃ, καὶ ὀρθόπνοια (ὀρθοπνοίη Mack) ἰσχύρη ἐμπίπτῃ (πιέζει FGIJ) vulg. – ἔστι δ' ὅτε καὶ ὀρθόπνοια (ὀρθοπνοίη θ) ἰσχυρὴ ἐμπίπτει EH (P'θ, ἐπιπίπτει). – Je prends ἔστι δ' ὅτε, que je lis ἔστιν ὅτε. — [12] Ante καὶ

ment ; aussi faut-il lui donner pour la douleur, avec diligence, les remèdes qui se donnent en cas de pleurésie. Quand il se lève, on le restaurera le plus vite possible avec les aliments, les boissons et les bains. La maladie est difficile et peu en réchappent.

40. (*Autre forme de fièvre pseudo-continue.*) Autre typhus : cette maladie attaque en toute saison ; elle provient de l'humidité du corps, quand, les aliments étant humides et les boissons abondantes, les chairs absorbent et s'humectent. Telle est la principale origine de la maladie. La fièvre commence, et elle est d'abord tierce ou quarte ; une douleur intense se fait sentir à la tête et parfois dans tout le corps d'une manière intermittente. Le malade vomit de la salive ; il a de fréquentes éructations ; il souffre dans la région des yeux ; le visage est décoloré ; et de l'œdème se manifeste aux pieds, quelquefois même le corps entier s'œdématie. Parfois la douleur court dans la poitrine et dans le dos. Le ventre se dérange. Le regard est fixe. Le patient crache une salive abondante et écumeuse ; il lui semble qu'il a quelque chose dans la gorge ; et il est enroué. Souvent même la gorge s'enflamme. Quand la souffrance l'accable ainsi, il n'est pas rare qu'une grande gêne de la respiration survienne, et maintes fois, par la force de la douleur, il a soudainement rendu l'âme en sept jours ou en quatorze. Plusieurs vont même jusqu'aux vingt-quatre. Souvent encore la maladie s'est subitement amendée, et le patient paraît guéri ; mais il faut être sur ses gardes jusqu'à ce que les vingt-quatre jours soient écoulés ; en effet, s'il passe ce terme, il n'est plus guère exposé à succomber. Les choses étant ainsi, il faut dans les premiers jours donner pour potage de la farine

addit ἔστιν ὅτε (ἔστι δ' ὅτε Q', Lind.) vulg. – ἔστιν ὅτε om. EHθ. – ἀπὸ EHQ', Lind. – πουλλοὶ G, Frob. — [13] ἐς τὰς εἰκοσιτέσσαρας pro καὶ.... ἡμερέων EH (Q', εἰς) θ. — [14] ἀφῆκε θ. – φυλάσσειν E (H, al. manu εσθαι). – ἕως pro ἄχρις EQ'θ, Lind. – ἕως ἦν, al. manu ἄχρις ἂν H. – αἱ om. θ. – περιφύγῃ, al. manu διαφύγῃ H. — [15] τοῦτον EHIJK. – χρὴ om., restit. al. manu H. – ῥοφήματα (ῥυφήμασι, al. manu ῥοφήματα H) vulg. – ῥόφημα θ. – ἄλευρον θ. – ἄλητον.... διδόναι om., restit. al. manu E.

ῥόφημα διδόναι ἄλητον κάθεφθον, μέλι λεπτὸν παραχέων· πίνειν δὲ διδόναι μέλανα οἶνον κατ' ὀλίγον, [1]ὅκως ἂν βούληται κεκρημένον· σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι· [2]πουλύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥοφάνειν, καὶ ῥαφανῖδας τρώγειν πολλάς· καὶ καρδάμου καρπὸν φώσας, ἀλέσαι καὶ [3]σῆσαι λεπτά· ἔπειτα ἐπ' οἶνον ἐπιβαλὼν μέλανα στρυφνὸν καὶ ἄλφιτα λεπτὰ ὀλίγα διδόναι πίνειν ἕωθεν· λουτροῦ [4]δὲ ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν· οἴνῳ δὲ καὶ ἐλαίῳ χλιήνας ἀλείφειν ἐς κοίτην καὶ ἐκμάσσειν· καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι, διδόναι πίνειν· καὶ γογγυλίδας [5]διέφθους ποιέων ῥοφανέτω τοῦ χυλοῦ, ἀρτύσας τυρῷ ἀνάλτῳ καὶ μήκωνι καὶ ἁλὶ καὶ ἐλαίῳ καὶ σιλφίῳ καὶ ὄξει. Ἢν [6]δὲ καὶ φάρμακον βούλῃ πῖσαι, τοῦ κνιδίου κόκκου [7]πῖσαι, καὶ μετὰ τὴν κάθαρσιν ἀλεύρου ἑφθοῦ καὶ λιπαροῦ δοῦναι [8]δύο τρυβλία ἐκροφέειν· οἶνον δὲ πινέτω τὸν αὐτόν. [9]Τούτων τῶν φαρμάκων καὶ ῥοφημάτων καὶ ποτῶν ὅ τι ἂν διδῷς ὀνήσεις, ἤν τε κατὰ ἕν, ἤν τε [10]κατὰ πλείω προσφέρῃς, καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπὴ, καὶ παῦροι διαφυγγάνουσιν.

41. [11]Ἄλλος τῦφος· γίνεται μὲν καὶ οὗτος διὰ τόδε, ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς φλέβας καὶ τὰ [12]ἄρθρα, καὶ ὁκόταν στῇ, οἴδημα ἀνίσταται μάλιστα μὲν ἐν τοῖσιν ἄρθροισι καὶ καταστηρίζεται, ἐνίοτε δὲ καὶ ἐς τὸ ἄλλο [13]πᾶν σῶμα, καὶ ὀδύνας παρέχει ὀξείας· καὶ οἱ πολλοὶ ἐκ ταύτης τῆς νούσου χωλοὶ γίνονται, [14]ὁκόταν ἀπολειφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ πωρωθῇ· ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει καὶ διὰ τριῶν ἡμερέων καὶ διὰ τεσσάρων.

[1] [Καὶ] ὅκως Lind. – ἂν om., restit. al. manu H. – προσφερέσθω θ. — [2] πουλ. E. – πολ. vulg. – ῥομφάνειν EGHIJ, Ald. – ῥαφανίδας EHIJ, Ald., Frob., Lind. — [3] σεῖσαι J. – εἶτα πινέτω οἶνον μέλανα ἐπιβαλὼν στρυφνὸν, καὶ ἄλφιτα λεπτὰ ὀλίγα vulg. – ἔπειτα ἐπ' οἶνον ἐπιβαλὼν μέλανα στρυφνὸν καὶ ἄλφιτα λεπτὰ ὀλίγα θ, Mack. — [4] δὲ om., restit. al. manu H. – μέχρι sine ἂν, al. manu μέχρις ἂν H. – ἢν pro ἂν IJ. — [5] διέφθων J. – ῥυμφανέτω EGHIJ. – τοῦ χυλοῦ om. θ. – χυμοῦ EHJP'. — [6] δὲ om., restit. al. manu H. – καὶ om. EH. – βούλῃ π. φαρμ. EH. — [7] πῖσαι om. EP'. — [8] τρία H. – τριβλία J. — [9] καὶ (τούτω pro καὶ θ, Mack) τῶν vulg. – Je lis τούτων. – ὅ τι om. H. – ἢν pro ἂν EHIJ. – δίδως vulg. – διδοῖς P'θ. – ὀνήσεις EHP'θ. – ὀνήσειεν vulg. — [10] καὶ pro κατὰ θ. – οὕτω om. (H, restit. al. manu) θ. – ἐκφυγγάνουσιν θ. — [11] ὁ ἄλλος H. – ἄλ. τ. om. I. – τίφος EGJ, Ald. – καὶ οὗτος om., restit. al. manu H. — [12] ἄρθρα, ὁκόταν τὸ αἷμα στῇ (στῇ τὸ αἷμα EH) (στέῃ Mack), ἐνίσταται

très-cuite avec addition d'un miel peu épais ; il boira par petits coups un vin noir coupé comme il voudra. Point d'aliments jusqu'à ce que les jours soient passés. Il mangera des poulpes cuits dans du vin, prendra ce bouillon, et mangera beaucoup de raiforts. Prenez de la graine de cardame (*erucaria aleppica*, d'après Fraas), grillez-la, pilez et passez par un tamis fin ; puis jetez cette poudre et un peu de fine farine d'orge sur un vin noir astringent, et faites boire le matin. Point de bains jusqu'à ce que les jours soient passés. Il se fera frotter avec de l'huile et du vin chauds, et bien absterger pour se mettre au lit. Il boira dix grains de pivoine cuits dans du vin noir. On fera très-bien cuire des navets, il en boira l'eau préparée avec du fromage sans sel, du pavot, du sel, de l'huile, du silphion et du vinaigre. Si on veut faire prendre un évacuant, on administrera le grain de Gnide ; après l'évacuation, on donnera deux oxybaphes de farine cuite et grasse. Il boira le même vin. Quel que soit celui de ces médicaments, potages, boissons, que vous donnerez, soit seul, soit associés, vous serez utile ; et c'est ainsi que vous procurerez le plus tôt la guérison. La maladie est difficile, et peu en réchappent.

41. (*Rhumatisme articulaire aigu.*) Autre typhus : celui-ci vient de cette façon : quand la bile corrompue se mêle au sang dans les veines et dans les articulations et qu'elle s'y arrête, il se forme, aux articulations surtout, du gonflement qui s'y fixe ; parfois aussi ce gonflement survient dans le reste du corps ; et des douleurs aiguës se font sentir. La plupart sont estropiés par cette maladie quand la bile, interceptée dans les articulations, s'y durcit. La douleur prend par intermittence, tous les

δὲ (δὲ om. E ; μὲν pro δὲ FGH, Ald.) μάλιστα (μάλ. om. FG, H restit. al. manu, Ald.) (μάλιστα μὲν pro δὲ μάλ. J) ἐν τοῖσιν ἄρθροισι, καταστηρίζεται (καταστηρίζει, al. manu ζεται H) δὲ ἐνίοτε καὶ εἰς (ἐς EH, Lind.) vulg. – ἄρθρα, καὶ ὁκόταν στῇ, οἴδημα ἀνίσταται μάλιστα μὲν ἐν τοῖσιν ἄρθροισι καὶ καταστηρίζει ἐνίοτε δὲ καὶ ἐς θ. — [13] πᾶν om. (H, restit. al. manu) θ. – Ante σῶμα addit τὸ E. – πουλλοὶ G, Ald. – ἐκ τῆς τοιαύτης νούσου (νόσου H) vulg. – ἐκ ταύτης τῆς νούσου EHθ. — [14] ὀπ. E. – τοῖς E. – διαλειπούσα (sic) I. – τεττάρων vulg. – τεσσάρων EHIJ, Lind., Mack.

Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, μελετῆν [1]οὕτως· ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας· ὁκόταν δὲ ἀνῇ, δοῦναι αὐτῷ ἐλλέβορον πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα· τῇ [2]δὲ ὑστεραίῃ ὀῤῥὸν αἰγὸς ἑψήσας, δοῦναι πιεῖν δύο χοέας, [3]παρὰ τὸν ἕτερον χοέα μέλι παραχέας, παρὰ δὲ τὸν ἕτερον ἅλας παραβαλών· εἶτα κύλικα παρὰ κύλικα παραλλάσσων πινέτω ἕως ἂν ἐκπίῃ ἅπαν· [4]ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν φακῆς τρυβλίον ῥοφεέτω, καὶ τεύτλων [5]τρυβλίον λιπαρῶν ἄλφιτα παραπάσας [6]ἐκπιέτω, καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας ἢ πελειάδος ἢ τρυγόνος ἢ ὄϊος ἢ ὑὸς πίονος τρωγέτω. Τὸν δὲ ἐλλέβορον δι' ἕκτης [7]ἡμέρης διδόναι, καὶ ἤν κου τῶν ἄρθρων ἀποιδίσκηται καὶ μὴ θέλῃ ἀφίστασθαι, σικύην προσβαλὼν ἀφαιρέειν τοῦ αἵματος, κατακεντῶν ἀκίδι τριγώνῳ ἐς τὰ γούνατα, [8]ἢν ἐν τοῖσι γούνασιν ἐνῇ τὸ οἴδημα, τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντριώσῃς. Τὰς δὲ μεταξὺ τῶν ἡμερέων [9]σιτίον προσφερέσθω ἄρτον μὲν ὡς ὀπτότατον, μᾶζαν δὲ ψαιστὴν ὡς μάλιστα· [10]ὄψον δὲ ἐχέτω μάλιστα μὲν ὄρνιθα ὀπτὴν ἄναλτον· εἰ δὲ μὴ, καὶ ἑφθὴν, ἐζωμευμένην, [11]πλὴν ἄνευ τυροῦ καὶ σησάμου καὶ ἁλός· ἰχθύσι δὲ χρεέσθω τοῖσι σαρκωδεστάτοισιν, [12]ὀπτοῖσι δὲ τὸν αὐτὸν τρόπον τοῖσι κρέασιν, [13]ἢ ἑψῶν δι' ὀριγάνου παστὰ, [14]ἐλαίῳ αὐτὰ ὑποχρίσας, οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ· [15]εἰ δὲ μὴ, μέλανα· καὶ [16]ἐν περιόδοισι ταλαιπωρεέτω δι' ἡμέρης καὶ μετὰ τὸ δεῖπνον καὶ ὄρθριος, ὀῤῥὸν δὲ καὶ γάλα τὴν ὥρην πινέτω αἰεί· ἢν δέ σοι δοκέῃ, καὶ ὄνειον γάλα διδόναι ἀφεψήσας. Καὶ ἢν ὑγιὴς γένηται, ἐν φυλακῇ αὐτὸν

[1] Οὕτως om., restit. al. manu H. – τῆς ὀδύνης ἐπικρατούσης (ἐπικρατεούσης Lind., Mack) vulg. – ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ (H, al. manu τῆς ὀδύνης ἐπικρατούσης) θ. – χρὴ ποιέειν καὶ om. (H, restit. al. manu) θ. — [2] δ' EH. – πίνειν H. – χόεας HIJ, Ald., Frob. — [3] παρὰ [μὲν] Lind. – μέλι παραχέας παρὰ τὸν ἕτερον χοέα θ. – χόεα EHI. – ἐναλλάσσων θ. – ἢν pro ἂν HIJ. — [4] ἐς EHIJ, Lind. – τριβλίον (bis) J. – ῥυφεέτω EH. — [5] τρ. om. θ. – παραπάσσας GIJ, Ald., Frob., Lind. — [6] ἐκφαγέτω θ. – κρέας om., restit. al. manu E. – πελιάδος GI, Ald. – οἰὸς HIJ. – πῖον (πίον Ald., Frob.; πίονος θ, Mack) vulg. – τρωγέτω om., restit. al. manu H. — [7] ἡμέρας I. – που EH. – ἀποιδίσκηται EHIJ, Mack. – ἀποιδίσκεται vulg. – τριγόνῳ J. — [8] καὶ (ἢ pro καὶ EH) ἐν τοῖσι γούνασιν (γυίοισιν Lind.) ἐν οἷς (οἷσι Lind., Mack; ἢ pro οἷς IJ) τὸ οἴδημα vulg. – ἢ de I et J, reste de l'ancienne leçon, m'a mis sur la voie de la correction. — [9] σιτίον EFGIJ, Ald., Lind., Frob. – σιτίων vulg. – ψεστὴν FGH IJ, Ald. – Gal. Gl. : ψαιστὴν μάζαν, τὴν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην. — [10] ὄψα δὲ ἐχέτω ὡς (ὡς om. E) μάλιστα μὲν ὀπτὰ, ὀρνίθεια δὲ (δὲ om. H) ἄναλτα· εἰ δὲ μὴ, καὶ ἑφθὰ (addit καὶ Lind.) ἐζωμευμένα vulg. – ὄψον δ' ἐχέτω

trois jours ou tous les quatre jours. Les choses étant ainsi, voici le traitement : quand la douleur se fait sentir, on fait des applications chaudes, après avoir oint avec de l'huile. La douleur se relâchant, on fait prendre un bain de vapeur général et on administre l'hellébore. Le lendemain, faites cuire du petit-lait de chèvre, et préparez-en deux conges, édulcorant l'un des conges avec du miel, et salant l'autre ; le patient boira alternativement une tasse de l'un et une tasse de l'autre, jusqu'à ce qu'il ait tout pris. Le soir, après l'évacuation, il aura pour potage un oxybaphe de lentilles, et un oxybaphe de bettes grasses, saupoudrées de farine. Il mangera du poulet, ou du pigeon, ou de la tourterelle, ou du mouton ou du cochon gras. Il prendra de l'hellébore tous les six jours. Si quelqu'une des articulations demeure obstinément gonflée, appliquez une ventouse et tirez du sang, en piquant avec une aiguille triangulaire les genoux, si la tuméfaction est aux genoux ; mais vous ne piquerez aucune autre articulation. Dans les jours intermédiaires il aura pour aliments de céréales, du pain très-cuit, de la polenta pétrie avec l'huile et le miel ; pour mets, une volaille rôtie sans sel ; sinon, bouillie, mais le bouillon sera sans fromage ni sésame ni sel ; en fait de poissons, il prendra les plus charnus, mais grillés de la même façon que les viandes, ou bouillis après avoir été saupoudrés avec l'origan et frottés avec de l'huile. Il boira un vin blanc, s'il lui est bon ; sinon, un vin noir. Pendant le jour il prendra l'exercice de la promenade, et après le dîner et le matin. Dans la saison il boira continuellement du petit-lait et du lait ; vous pouvez encore,

μάλιστα μὲν ὄρνιθα ὀπτὴν ἄναλτον· εἰ δὲ μὴ, καὶ ἑφθὴν ἐζωμευμένην θ, Mack. — [11] πλὴν om. (H, restit. al. manu) θ. – ἄνευ om. Lind. – ἰχθύεσι vulg. – ἰχθύσι EH, Lind., Mack. — [12] ὀπαῖσι, al. manu ὀπτοῖσι E. – ἶσον (αὐτὸν EHQ'θ, Lind.) vulg. – τοῖσι EHIJ, Mack. – τοῖς vulg. — [13] ἢ (καὶ K'; ἢ om. vulg.) EH. – Post ἑψῶν addunt αὐτὰ θ, Lind., Mack. – δι' om., restit. al. manu H. – παστοῦ θ. — [14] καὶ ἐλαίῳ θ, Lind., Mack. – αὐτὰ om. (H, restit. al. manu) θ, Lind., Mack. – συμφέρῃ EHIJ. — [15] ἢν δ' οὐ ξυμφέρῃ (συμφ. IJ) vulg. – εἰ δὲ μὴ EHQ'θ, (Lind. cum ξυμφέρῃ), Mack. — [16] ἐν om. EH. – ἡμέρας J. – αἰεὶ EHIJ, Lind., Mack. – ἀεὶ vulg. – σοι om., restit. al. manu H. – δοχῇ E. – γάλα om. θ.

[1]εἶναι τοῦ ψύχεος καὶ τοῦ πνίγεος, καὶ τῶν σιτίων μὴ λίην ἐμπιπλάσθω· κίνδυνος γὰρ αὖθις ὑποτροπιάσαι τὴν νοῦσον. Αὕτη [2]τοιγαροῦν ἡ νοῦσος οὕτω θεραπευομένη ἐν ἓξ μησὶν ὑγιὴς γίνεται· [3]οὗτοι γὰρ κρίνουσιν, [4]ἥν τε θανάσιμος, [5]ἥν τε μὴ, ἢν καὶ παραχρῆμα θεραπεύηται· πλὴν ἡ νοῦσος χαλεπὴ, καὶ τοῖσι πλείστοισι συναποθνήσκει.

42. Ἄλλος [6]τῦφος· γίνεται μὲν τὸ νούσημα ἐν ὀπώρης καιρῷ, ὁκόταν [7]τις πλησθῇ παντοίης ὀπώρης. Τοῖσι δὲ πολλοῖσι καὶ ἀπὸ τῶνδε ἐγένετο [8]τὸ νόσημα· φαγόντες πλακοῦντος καὶ σησάμης καὶ τῶν ἄλλων μελιτωθέντων ἀπλήστως. Τὸ γὰρ μέλι τὸ ἑφθὸν καυματῶδές ἐστι καὶ προσπλάσσεται [9]τῇ κοιλίῃ· ἔπειτα ὁκόταν καθεψηθῇ ἐν τῇ κοιλίῃ, [10]ἀναζέεται, καὶ ἐξαπίνης ἡ γαστὴρ ἀείρεται καὶ πίμπραται, καὶ δοκέει διαῤῥήσσεσθαι· [11]ἔπειτα δὲ ἐξαπίνης διάῤῥοια ἐπεγένετο, καὶ ὁκόταν ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας καθαίρεται, καὶ πολλοὶ μετὰ ταύτην τὴν κάθαρσιν ὑγιέες ἐγένοντο. [12]Ὁκόταν οὖν παύσηται αὐτόματος καθαιρόμενος, φακῶν χυμοῦ ἀναγκάσαι αὐτὸν ἐκπιεῖν τρία ἡμίχοα, ἅλας παραβάλλων· μετὰ δὲ τὴν κάθαρσιν τοῦ [13]χυμοῦ ἐς ἑσπέρην, φακῆς τρυβλίον ῥοφεέτω ψυχρῆς ἀνάλτου, σίλφιον δὲ ἐπιξύσθω πουλὺ, καὶ τεύτλου [14]τρυβλίον ἀνηδύντου λιπαροῦ, ἄλφιτα παραπάσσων φαγέτω· οἶνον δὲ πινέτω μέλανα αὐστηρὸν κατ' ὀλίγον. [15]Τὸ δὲ λοιπὸν τοῦ χρόνου τὰ αὐτὰ ποιεέτω, καὶ σῖτα προσφερέσθω ἄρτον ἔξοπτον, μᾶζάν τε ψαιστὴν ὡς μάλιστα· τὰς δὲ πρώτας τῶν ἡμερέων ἄλευρον φαγέτω κάθεφθον, ἀποψύχων [16]καὶ μέλι παραχέων· οἶνον δὲ πινέτω μέλανα στρυφνὸν, ἕως ἂν κα-

[1] Ἔχειν (H, al. manu εἶναι) θ. – ψύχιος (sic) E. – πιμπλάσθω θ. – αὖτις EH, Lind. – ὑποτροπιᾶσαι Ald., Frob. — [2] τοιγ. om. (E, al. manu γοῦν) Hθ. — [3] ἐν γὰρ τῶν τοσούτων μηνῶν τῷ διαστήματι κρίνεται vulg. – οὗτοι γὰρ κρίνονται (H, al. manu ἐν γὰρ τῶ τοσούτων μηνῶν διαστήματι κρίνεται) (θ, κρίνουσιν). — [4] εἰ pro ἥν τε θ. – ἢ, al. manu ἥν τε H. — [5] ἢ οὐ (H, al. manu ἥν τε) θ. – καὶ om. (H, restit. al. manu) θ. – ἢ γὰρ pro πλὴν ἡ EHθ. – ξυναπ. Lind. — [6] τίφος EGIJ, Ald. – νόσημα EHIJ. – ἐν om. EHθ. – Post ὀπώρης addunt μάλιστα EHθ. – καιρῷ om. (H, restit. al. manu) θ. – Post καιρῷ addunt μάλιστα P'Q', Lind. — [7] τις om., restit. al. manu H. – τοῖσι om. H. – δὲ post πολλοῖσι EHθ. – πουλλοῖσι G, Ald., Frob. — [8] ἡ τοιάδε (τοιαύτη Lind.) νοῦσος (τὸ νόσημα EHQ'θ) vulg. – φάγουσι θ, Mack. – πλακοῦντα καὶ σησάμην θ. – ἀπλείστως G, Ald., Frob., Lind., Mack. – ἀπλ. om., restit. al. manu H. — [9] ἐπὶ τὴν κοιλίην θ. – κατεψηθῇ (κατ., al. manu καθ. H) vulg. – καθεψηθῇ E. — [10] διαχέεται θ. – διαρήσσεσθαι I. – διαρραγέσθαι θ. — [11] καὶ

si vous le jugez convenable, donner du lait d'ânesse cuit. En cas de guérison, il se tiendra en garde contre le froid et la chaleur, et ne se gorgera pas trop d'aliments; car la récidive est à craindre. Cette maladie ainsi traitée guérit en six mois; car, même quand elle est soignée tout d'abord, c'est le terme qui décide si elle est mortelle ou non. Mais cette maladie est difficile; et chez la plupart elle entraîne la mort.

42. (*Dérangement intestinal avec fièvre.*) Autre typhus : cette maladie vient au temps des fruits, quand on se gorge de toute espèce de fruits. Chez beaucoup encore, elle est produite par l'usage immodéré de gâteaux au sésame et de friandises au miel. En effet, le miel cuit est échauffant et se colle au ventre; puis, quand il a été recuit dans le ventre, il bout, et soudain le ventre se gonfle, s'enflamme et semble se déchirer. Alors tout à coup la diarrhée survient, et, une fois qu'elle a commencé, elle dure plusieurs jours, et beaucoup, après cette purgation, se sont trouvés guéris. Quand donc la purgation spontanée s'arrête, on prescrira de prendre trois demi-conges d'eau de lentilles avec addition de sel; après l'effet purgatif de cette eau, le soir, le malade aura pour potage un oxybaphe de lentilles froides et sans sel; on y râclera beaucoup de silphion. Il mangera aussi un oxybaphe de bettes sans assaisonnement, grasses, saupoudrées de farine. Il boira un vin noir astringent à petits coups. Le reste du temps, il fera la même chose; pour aliments de céréales il aura un pain très-cuit et de la polenta pétrie à l'huile et au miel. Les premiers jours, il mangera de la farine d'orge très-cuite, qu'on refroidira et où

ἔπειτα, sine δὲ quod est restit. al. manu H. – καὶ pro ἔπειτα δὲ θ. – ἐξεγένετο FGIJ. – πουλλοὶ GIJ, Ald., Frob. – Ante μετὰ addit καὶ H. — [12] ὀπ. G. – χυλοῦ al. manu H. – ἀναγκάσαι I. – πιεῖν E. — [13] χυλοῦ al. manu H. – εἰς J. – τριβλίον J. – ἐπιξέσθω vulg. – ἐπεζέσθω E. – ἐπιξεέσθω Lind. – ἐπιζεέσθω Mack. – ἐπιξύσθω θ. — [14] τριβλίον J. – παραπάσας θ. – φαγέτω θ. – φαγέτω om. vulg. — [15] τὸν δὲ λοιπὸν χρόνου ταῦτά τε ποιείτω, καὶ σιτία θ. – τὰ αὐτά τε FHIJ. – πιεέτω J. – ψεστὴν GHIJ, Ald. — [16] καὶ om., restit. al. manu H. – στριφνὸν HI. – αὐστηρὸν (E, al. manu στρυφνὸν) P'Q', Lind., Mack. – [καὶ] ἕως Lind. – ἦν pro ἂν H.

ταστῇ ἡ νοῦσος, ταῦτα προσφερέσθω. Ὁ δὲ ὑπὸ τῆς ὀπώρης ληφθεὶς τῇ νούσῳ φῦσαν παρέχει καὶ στρόφον καὶ ὀδύνην, καὶ τὰ σιτία οὐκ ἐθέλει διαχωρέειν, καὶ ἡ γαστὴρ μεγάλη καὶ σκληρὴ [1]αὐτοῦ ἐστι, καὶ ῥῖγος καὶ πυρετὸς ἔχει. Τούτῳ ἢν μὲν αὐτομάτη ταραχθῇ ἡ κοιλίη, ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλάχιστον καθαίρεται, καὶ ὁκόταν παύσηται καθαιρόμενος, ὑγιὴς παραχρῆμα [2]ἔσται· ἢν δὲ μὴ αὐτομάτη ταραχθῇ, καθαίρειν αὐτὸν τῷ τοῦ ἱππόφεω ὀπῷ ἢ τῷ κνιδίῳ κόκκῳ· ἐς ἑσπέρην δὲ ταῦτα διδόναι [3]ἃ καὶ τῷ αὐτομάτῳ καθαιρομένῳ· τῇ δ' ὑστεραίῃ, ἢν μὲν πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω, διδόναι δὲ αὐτῷ πίνειν τοῦ αὐτοῦ οἴνου ὡς ἐν ψυχροτάτῳ ὕδατι· ἢν δὲ μὴ ἔχῃ πυρετὸς, διαιτήσθω δίαιταν μὴ ὑγρὴν, ἀλλ' ἰσχυροτέρην, καὶ περιπατεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος. [4]Ὑπὸ τουτέου τοῦ νοσήματος πολλοῖσιν ἤδη ὕδερος ἐξεγένετο, καὶ ἢν δοκέῃ σοι κλύζειν, τοῖσιν αὐτοῖσι κλύσον οἷσι καὶ τὸν ὑδεριῶντα. [5]Ἢν δὲ βούλῃ, τοισίδε κλύζειν· ἐν μελικρήτου κοτύλῃ [6]ποίην θαψίης [7]ἐγξύσαι, εἶτα οὕτως ἐγκλύσαι. Οὗτος οὕτω θεραπευόμενος τάχιστα ὑγιὴς ἔσται.

43. Ἄλλος [8]τῦφος· γίνεται μὲν τὸ νούσημα, ὁκόταν τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι [9]συνπαγῇ καὶ ἀναξηρανθῇ μᾶλλον τοῦ καιροῦ. Γίνεται οὖν τὴν εἰδέην, ὁκόταν τῷ νουσήματι ἔχηται, δίυγρος, ὕπωχρος, διαφανὴς, κύστει πλήρει ἐοικὼς οὔρου, [10]πλὴν οὐκ οἰδέει, ἀλλὰ λεπτὸς καὶ σκελιφρός ἐστι καὶ ἀσθενής· μάλιστα δὲ τοῦ σώματος λεπτύνεται τὰς κληῖδας, καὶ τὸ πρόσωπον ἰσχυρῶς κάτισχνος, καὶ οἱ ὀφθαλμοὶ [11]ἔκκοιλοι σφόδρα. Ταῦτα μὲν ὑπὸ τοῦ νοσήματος πάσχει· ἢν δὲ ἡ χροιὴ τοῦ σώματος μέλαινα ᾖ, τάδε αἰτιά ἐστιν· ἐς τὰ φλέβια καὶ [12]ἐς τὸ δέρμα, ὁκόταν χολὴ μέλαινα ὑπέλθῃ, καὶ ἐπὶ τούτοι-

[1] Αὐτῷ Lind., Mack. – αὐτοῦ ἐστι om. FGIJ. — [2] ἔστιν θ. – ἢν δὲ μὴ καθαρθῇ vulg. – ἢν δὲ μὴ αὐτομάτη ταραχθῇ θ. – τοῦ θ, Mack. – τοῦ om. vulg. – ἱπποφαέως vulg. – ἱπποφέω EFGHIJ, Ald., Mack. – ἱππόφεω Lind. — [3] ἃ θ, Mack. – ἃ om. vulg. – ὑστερέη J. – διαιτείσθω J. – ἀλλὰ H. — [4] ὑπὸ [δὲ] Lind. – νουσ. Lind. – ἐγένετο, al. manu ἐξεγ H. – κλύσον om. θ. — [5] ἢν.... κλύζειν om. (E, al. manu ἢν βούλη δὲ τοῖσι κλύζειν) (H, obliter. al. manu). – τοῖσιδε (sic) IJ. – τοῖσι δὲ H. – τοῖσδε Lind., Mack.. — [6] ποιεῖν GHIJ, Ald. — [7] γέγρ. ἐγκαῦσαι in marg. eadem manu H. – ἐψῆσαι Cornar. – ἐγκαῦσαι (E, al. manu ἐγξύσαι) Q', Lind. — [8] τίφος EGIJ, Ald. – νόσ. EHIJ. — [9] συνπαγῇ θ. – σαπῇ vulg. – ἰδέην E. – νοσ. EHIJ. – πλήρει θ. – πλήρει om. vulg. – ἔοικεν vulg. – ἐοικὼς θ. — [10] οὐκ οἰδέει δὲ pro πλὴν οὐκ οἰδέει θ. – σκεληφόρος al. manu H. – ξηρὸς (E, al. manu σκελιφρὸς) P'Q'. – Gal. Gl. : σκελιφρὸς, ξηρὸς, προσεσταλμένος. — [11] ἔκκυλοι J. – ἔγκοιλοι Mack. – νουσ. Lind. – ἡ δὲ

l'on mettra du miel. Il boira un vin noir astringent, se traitant ainsi jusqu'à ce que la maladie cesse. Celui qui est pris de cette maladie par l'effet des fruits, a des flatuosités, des tranchées et de la douleur; les aliments ne passent pas; le ventre est gros et dur; il y a frisson et fièvre. En ce cas, si le ventre se dérange spontanément, la purgation dure au moins vingt jours, et, quand elle cesse, le malade est aussitôt guéri. Si le ventre ne se dérange pas spontanément, on l'évacuera avec le suc de l'hippophée (*euphorbia spinosa*, L.) ou le grain de Gnide; le soir on donnera ce qui se donne à celui qui est purgé spontanément. Le lendemain, s'il y a fièvre, il gardera le repos; il boira du même vin avec l'eau la plus froide; s'il n'y a pas de fièvre, il suivra un régime non humide et assez fortifiant; ses promenades seront en raison de l'alimentation. Chez beaucoup, cette maladie cause l'hydropisie; si vous jugez convenable d'évacuer par les lavements, prescrivez les mêmes que dans l'hydropisie. Vous pouvez encore prescrire celui-ci : prenez une cotyle de mélicrat, râclez-y de la thapsie, et faites prendre en lavement. Le malade ainsi traité guérira très-promptement.

43. (*Maladie nerveuse et pertes séminales.*) Autre typhus : cette maladie survient quand l'humide du corps se coagule et se dessèche plus qu'il ne convient. Le patient, quand cette maladie le tient, prend une apparence humide, jaunit, devient diaphane, ressemblant à une vessie pleine d'urine; seulement il ne s'œdématie pas; loin de là, il est maigre, sec et faible. C'est surtout aux clavicules et au visage que l'amaigrissement est prononcé; les yeux s'enfoncent beaucoup. Tels sont les accidents de la maladie. Si la coloration du corps devient noire, en voici la cause : quand la bile noire pénètre dans les veines et la peau, et qu'en outre de la chaleur survient, nécessaire-

pro ἦν δὲ ἡ FG (H, restit. al. manu) IJ, Vatic. exempl. ap. Foes, Ald. – ἔστι δ' ὅτε pro ἦν δὲ θ. – τὰ δὲ J. – Post τάδε addunt δὲ θ, Mack. – φλεβία H. — [12] ὑπὸ θ, Mack. – Post ὀx. addunt δὲ FGHIJ. – ὑπέλθοι vulg. – ὑπέλθῃ EHIJθ, Mack. – ὑπέλθει (sic) Lind.

σιν, ὁκόταν θέρμη ἐπιγένηται, ἀνάγκη [1]ὑπὸ τοῦ θερμοῦ ξυγκαίεσθαί τε καὶ ἀναξηραίνεσθαι τὰ φλέβια, ὥστε τὸ αἷμα μὴ χωρέειν κατὰ τὰ φλέβια. Τάδε οὖν πάσχει οὗτος [2]πρὸς ἐκείνοις· λεπτὸς γίνεται καὶ κάτισχνος ἰσχυρῶς, καὶ τοῖσιν ὀφθαλμοῖσιν ἀραιὰ σκαρδαμύσσει, καὶ τὰς μυίας ἀπὸ τοῦ ἱματίου θηρεύει, καὶ [3]βόρος τῶν σιτίων μᾶλλόν ἐστιν ἢ ὑγιαίνων, καὶ λύχνου ἀπεσβεσμένου τῇ ὀσμῇ ἥδεται, καὶ ἐξονειριώσσει θαμινά· πολλάκις δὲ καὶ βαδίζοντι αὐτῷ [4]ἐξέρχεται ἡ γονή. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν [5]κοιλίην τῷ μέλανι ἐλλεβόρῳ, τὴν ἄνω δηλονότι· τὴν δὲ κάτω ὀπῷ σκαμμωνίης· μετὰ δὲ τὴν κάθαρσιν τὰ αὐτὰ διδόναι ἃ καὶ τοῖσιν ἄλλοισι, καὶ ὀῤῥὸν, καὶ γάλα βοὸς ἢ αἰγὸς διδόναι τὴν ὥρην· διδόναι δὲ καὶ ὄνειον [6]γάλα ἐς ὑποκάθαρσιν. Οὗτος οὕτω μελετώμενος μάλιστα ἐν δυσὶν ἔτεσιν ὑγιὴς γίνεται· σιτία δὲ ἃ βούλεται προσφερέσθω· εὐωχεέσθω δὲ ὡς μάλιστα, καὶ περιπατεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος. Αὕτη ἡ νοῦσος [7]λαμβάνει πρεσβύτερον εἰκοσαετέος· ὁκόταν δὲ λάβῃ, ἢν μὴ κατ' ἀρχὰς τοῦ νοσήματος μελετηθῇ, οὐκ ἐκλείπει, [8]πρὶν ἂν εἴκοσιν ἔτεα παρέλθῃ, ἀλλὰ προσέχει· ἔπειτα ἐνίοισι [9]μελετωμένοισιν ἐξέρχεται· ἡ δὲ νοῦσος χαλεπή.

44. [10]Εἰλεοί· [11]εἰλεοὶ δὲ τάδε τὰ νουσήματα καλέεται· γίνεται δὲ ἀπὸ τῶνδε μάλιστα· ἢν τοῦ χειμῶνος θερμῇ τῇ διαίτῃ καὶ ὑγρῇ [12]χρέηται καὶ μήτε περιόδοισι ταλαιπωρέῃ πρὸς τὰ σιτία τεκμαιρόμενος, πιμπλάμενος δὲ εὕδῃ ἀεὶ, εἶτα ἐξαπίνης ἀναγκασθῇ βαδίσαι μακρὴν ὁδὸν, ψύχεος ἐόντος, εἶτα ῥιγώσῃ ὑπὸ τὰ ὀστέα, τάδε οὖν πάσχει· φῦσα ἐγγίνεται ἐν τῷ σώματι παντὶ, καὶ ἡ χροιὴ αὐτέου γίνεται [13]μολιβδοειδὴς, καὶ ῥιγοῖ αἰεὶ, ὥστε οἱ θερμὸν καταχυθὲν οὐ

[1] Ante ὑπὸ addunt οὖν GHJ, Ald. – συγκ. EHIJ. – ξυγχέεσθαι Ald., Frob. – τε om. restit. al. manu H. – φλεβία (bis) EH. – ὁκόταν pro ὥστε θ. – ἐκχωρέειν (μὴ χωρέῃ θ) vulg. – Je prends μὴ de θ. — [2] πρὸς ἐκείνοις θ. – πρὸς ἐκείνοις om. vulg. – καὶ κάτισχνος om. θ. – Ante ἰσχ. addunt καὶ HIJ. – ἰσχυρὸς (H, al. manu ῶς) J. – καρδαμύσσει (E, al. manu σκαρ) FGHI. – μύας GI. — [3] βόρος θ, Mack. – βάρος vulg. – μᾶλλον θ, Mack. – μᾶλλον om. (Lind. addit μᾶλλον ante ἢ) vulg. – ὀδμῇ H. – ἐξονειρώσσει EGHIJ. – ἐξωνειριώσσει vulg. — [4] προέρχεται θ. – προσέρχεται, al. manu ἐξέρχεται H. – οὕτω H. — [5] Post κ. addit τὴν μὲν ἄνω θ. – τῷ μέλανι om. θ. – ἐν τῷ FGI. – τὴν ἄνω δηλονότι om. (H, restit. al. manu) θ. — [6] γάλα ἀφεψῶν (ἀφ. om. θ) ἐς vulg. — [7] Ante λ. addunt οὐ θ, Mack. – εἰκοσαέτεος vulg. – εἰκοσαετέος E. – νουσ. Lind., Mack. – Post νοσ. addit τούτου θ. — [8] εἰ μὴ (πρὶν ἂν θ, Mack) εἴκοσιν vulg. – παρέλθοι J. – προσίσχει θ, Mack. — [9] μελετωμένη θ. — [10] εἰλεοὶ om.

ment la chaleur brûle et dessèche les veines, de sorte que le sang n'y chemine pas. Voici les accidents qui s'ajoutent : le patient devient très-mince et très-maigre ; il a par moments des clignements d'yeux ; il chasse les mouches de sa couverture ; il est plus avide d'aliments qu'en santé ; il aime l'odeur d'une lampe éteinte ; et il a de fréquentes pollutions ; souvent même le sperme lui part tout en marchant. Les choses étant ainsi, on évacuera le ventre avec l'ellébore noir, le ventre supérieur bien entendu ; par le bas on purgera avec le suc de scammonée ; après la purgation on donnera ce qu'on donne aux autres. On donnera, dans la saison, le petit-lait, et le lait de vache ou de chèvre. On donnera aussi le lait d'ânesse comme laxatif. Le malade, ainsi traité, guérit en deux années environ. Il prendra les aliments qu'il voudra ; il mangera autant que possible ; il se promènera en proportion de l'alimentation. Cette maladie attaque les gens qui ont plus de vingt ans ; quand elle attaque, si elle n'est pas traitée dès le début, elle ne cesse pas avant que vingt ans se soient écoulés ; elle se prolonge ; cependant, chez quelques-uns, elle cesse par le traitement. Cette maladie est difficile.

44. (*Dyscrasie probablement de nature scorbutique.*) Iléus : les maladies suivantes sont appelées iléus. Cette maladie se produit surtout ainsi : un homme, en hiver, use d'un régime échauffant et humide ; il ne se promène pas suffisamment en proportion de ce qu'il mange ; mais, plein d'aliments, il dort continuellement ; puis, tout à coup, il est forcé de faire une longue route par le froid, qui lui pénètre jusque dans les os. Voici les accidents qui en résultent : du vent se développe dans tout le corps, la couleur est plombée, il a toujours froid, de sorte que des affusions chaudes ne lui paraissent pas chaudes.

θ, Mack. – περὶ εἰλεῶν E. – περὶ εἰλεῶν νούσων GHI. — [11] ἔλεοι (sic) GI. – εἰλεοὶ om., restit. al. manu H. – δὲ om. EH. – νοσ. EHI. — [12] χρέεται vulg. – χρέηται EHJ, Lind. – ταλαιπωρέει H. – εὕδει vulg. – εὕδει EHI, Ald., Frob. – εὕδη θ, Lind., Mack. – αἰεὶ Lind. – ἀεὶ om. (H, restit. al. manu) θ, Mack. — [13] μολυβδ. HI. – ῥιγῇ G. – οἱ om. θ. – θερμοῦ καταχεομένου θ. – δοκέει EHθ. – δοκέεται vulg.

δοκέει θερμὸν εἶναι. Τὸ δὲ σῶμα λουόμενον αὐτοῦ λεπίζεται [1]ὑπὸ τοῦ θερμοῦ, μάλιστα δὲ ἡ ὄσχη· ἣν τῷ δακτύλῳ τοῦ σώματός κου ὑποπιέζῃς, [2]ἐνθλάσεις, καὶ σημανέεταί σοι ὥσπερ ἐν σταιτί· μάλιστα δὲ ἐν τοῖσι ποσὶν ἐνθλᾶται. Τὰ δὲ σκέλεα βαρέα αὐτοῦ, καὶ ἢν περιφοιτέῃ, τρέμει, καὶ ἢν [3]πρὸς αἶπος βαδίζῃ, πνευστιᾷ σφόδρα, καὶ αἱ ὠλέναι δοκέουσιν ἀποκρέμασθαι, [4]καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ αἱ ὀφρύες δοκέουσιν ἀποκρέμασθαι, καὶ δίψη ἔχει τὰς νύκτας, τὰ δὲ σιτία ὠμὰ διαχωρέει, ἅσσ' ἂν καταφάγῃ. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριήσας αὐτὸν [5]τοῦ κνεώρου διδόναι πίνειν ἢ τοῦ ἱππόφεω ἢ τοῦ κνιδίου κόκκου· μετὰ δὲ τὴν κάθαρσιν ταῦτα διδόναι ἃ καὶ τοῖσι πρόσθεν· τῇ [6]δὲ ὑστεραίῃ ὀνείου γάλακτος ἑφθοῦ χοέα διδόναι δὶς ἐκπιεῖν ἅλας παραβάλλων· ἐς ἑσπέρην δὲ δειπνεέτω ἄρτον· ὄψον δὲ ἐχέτω ὄϊος κρέα ἑφθὰ, καὶ πουλύποδας ἑφθοὺς ἐν οἴνῳ [7]μέλανι, καὶ τὸν ζωμὸν ῥοφανέτω· καὶ φακὴν ἐχέτω ὧδε ἐσκευασμένην· κοτύλην [8]φακοῦ ἑψήσας τρῖψαι λείην, ἔπειτα ἄλευρον παραμῖξαι, καὶ σίλφιον [9]ἐπιξέσαι, [10]καὶ ἅλας ἐμβαλεῖν, καὶ ὄξος ἐπιχέαι, καὶ σκόροδα [11]συνεψεῖν· ἔπειτα ὕδωρ ἐπιχέας ζέσαι δὶς ἢ τρὶς, καὶ τορυνᾷν ἅμα· ἔπειτα ἀφελὼν [12]ἐψύχθω· ἔστω δὲ μὴ λίην παχείη· ἐμβεβλήσθω δὲ καὶ ἡ γλήχων [13]ἑψομένη τῆς εὐωδίης εἵνεκα. Τὰς δὲ μεταξὺ τῶν ἡμερέων ἐμέτους [14]ποιεέσθω δι' ἕκτης ἡμέρης· πυριῆσθαι δὲ χρὴ ἄλλοτε καὶ ἄλλοτε πρὸ τοῦ ἐμέτου καὶ τῆς φαρμακοποσίης· καὶ διὰ τρίτης ἡμέρης λουέσθω, ἢν [15]συμφέρῃ· εἰ δὲ μὴ, ἀλειφέσθω, καὶ περιπατεέτω, ἢν δυνατὸς ᾖ, πρὸς τὰ σιτία τεκμαιρόμενος καὶ ἀκτῆς φύλλα καὶ κονύζης τῆς αἰεὶ ἁπαλῆς ἑψῶν διδόναι [16]ἐσθίειν. Οὕτω γὰρ

[1] Ὑπὸ EHθ, Mack. – ἀπὸ vulg. – τοῦ σώματος om. G. – κου θ. – κου om. vulg. — [2] ἐνθλάσσεις EGIJ. – ἐνθλάσσει θ, Mack. – Gal. Gl. : ἐνθλάσσει, ἐνθλᾷ. – σημαινέεται vulg. – σημαίνεται E. – Lisez σημανέεται. – στῶτι FGIJ. – σταῖτι Ald. – στᾶτι, al. manu στῶτι H. – ποτοῖσιν pro ποσὶν (E, Ald., πότοισι) FGHI. – περιφοιτέῃ EH. – περιφοιτήσῃ vulg. — [3] πρὸς (addit σὲ al. manu H) ἔπος (ἔπος om. H; ἦπος Lind.; ἔπαντες K'; ὕψος Martinus; αἶπος θ, Vatic. exempl. ap. Foes, Mack) βαδίζῃ (προσβαδίζῃ H) vulg. — [4] καὶ.... ἀποκρέμασθαι θ. – καὶ.... ἀποκρέμασθαι om. vulg. – δίψα θ. – ἅσσα (ἅσσ' ἂν θ) καταφάγῃ (φάγῃ θ) vulg. – οὕτω H. — [5] τοῦ θ. – τοῦ om. vulg. – κναιώρου E. – ἱπποφαέως vulg. – ἱπποφέω EFGHIJ, Ald. – ἱππόφεω θ, Lind., Mack. – Post ἱππ. addit ὀποῦ vulg. – ὀποῦ om. θ. — [6] δ' EH. – ὑστερέῃ J. – χόεα EHIJ, Ald. – δοῦναι EHJ. – παραβαλὼν EHI. – βάλλων J. – ὀϊὸς EHIJ. — [7] Post μ. addunt ἡψημένους θ, Mack. – ῥυφανέτω GIJ. – ῥυμφανέτω EH. – ῥοφανεέτω Lind., Mack. – ἐσκευασμένη, al. manu ην H. — [8] φακῶν θ. – τρίψας

Le corps, lavé, s'écaille par l'effet de la chaleur, surtout aux bourses; si vous appuyez du doigt sur un point quelconque, vous y faites impression, et la marque en est comme dans de la pâte; c'est surtout aux pieds que l'impression est prononcée. Les jambes sont pesantes; si le patient marche, elles sont tremblantes; et, s'il monte une côte, il est très-essoufflé. Les avant-bras lui semblent un poids. La tête est douloureuse; les sourcils lui pèsent. Il est altéré la nuit; tout ce qu'il mange passe sans être digéré. Les choses étant ainsi, on fait prendre au patient un bain de vapeur, et on lui donne à boire, soit du cnéoron, soit de l'hippophée, soit du grain de Gnide. Après la purgation, on prescrira ce qui a été dit pour les précédents; le lendemain, on donnera deux fois un conge de lait d'ânesse cuit, avec addition de sel; le soir, il mangera du pain; pour mets, il aura du mouton bouilli, des poulpes bouillis dans du vin noir; il boira ce bouillon. Il mangera de la bouillie de lentilles ainsi préparée : prenez une cotyle de lentilles, faites-les cuire, écrasez-les, mêlez-y de la farine, râclez-y du silphion, mettez du sel, versez du vinaigre; faites cuire de l'ail avec tout cela; puis versez de l'eau et faites jeter deux ou trois bouillons en agitant; retirez du feu et laissez refroidir; ceci ne doit pas être trop épais; on y jettera aussi, pour l'aromatiser, du pouillot qui cuira dedans. Dans les jours intermédiaires, le malade fera le vomissement de six jours en six jours; il faut de temps à autre prendre des bains de vapeur avant le vomissement et la purgation. Il prendra des bains tous les trois jours si cela convient; sinon, il fera des onctions, et se promènera, au cas

θ. – λίην vulg. – λείην (H, al. manu) θ. – μίξας θ. — [9] ξήσας θ. — [10] καὶ om. θ. — [11] πρὸς τούτοις (πρὸς τ. om., H restit. al. manu, θ) συνεψεῖν (addunt χρὴ EHQ', Lind., Mack) vulg. – ἐπὶ ταῦτα pro ἔπειτα θ. – τορύναν I. – τορίναν J. – τυρὸν ἐν ἅμα (al. manu τορυνάειν σὺν τοῖς) αὐτοῖς E. – τορὺν ἐν (sic) pro τορυνᾶν H. – ἅμα (ἅμα om., restit. al. manu H) αὐτοῖς (αὐτοῖς om., H restit. al. manu, θ) vulg. — [12] ἑψήσθω vulg. – ἐψύχθω K'θ, Lind., Mack. – γλίχων J. — [13] ἑψημένη Mack. — [14] ποιεέτω E. — [15] ξ. Lind. – ἀεὶ J. — [16] πίνειν θ. – ῥᾷστ' ἄν, sine ἄν post γὰρ θ. – ἐκλείπῃ FGI, Ald., Frob., Lind. – ἐκλείπει H. – Post ἐτέων addit πάλιν θ.

ἂν μελετώμενος ῥήϊστα διάγοι, καὶ ἡ νοῦσος ἐκλείποι ἂν ἐνιαυσιαίη· πολλοῖσι δὲ ἤδη ὑγιέσι γινομένοισι διὰ δύο ἐτέων ἡ νοῦσος [1]ὑπετροπίασεν· ἀλλὰ χρὴ, ἢν ὑποτροπιάσῃ, [2]τὴν αὐτὴν ἴησιν ἰῆσθαι. Ἢν δὲ τρίτον ὑποτροπιάσῃ, οἴδημα μὲν οὐκ [3]ἐπιγίνεται, λεπτὸς δὲ γίνεται καὶ κάτισχνος· ἄρχεται δὲ λεπτύνεσθαι ἀπὸ τοῦ προσώπου, καὶ τὴν χροιὴν ἔκλευκος γίνεται μᾶλλον ἢ τὸ πρόσθεν. Τούτῳ ὕδερος [4]ἐνίοτε ἐγένετο ἐν τῇ κοιλίῃ· ἢν οὖν ἐγγένηται, τάμνειν αὐτὸν οὐ χρή· ἀποθανέεται γάρ· θεραπεύειν δὲ τοῖσιν αὐτοῖσιν οἷσι καὶ τὸν [5]ἀπὸ σπληνὸς ὑδεριῶντα. Τοῦτον μάλιστα μὲν κατ' ἀρχὰς βούλεσθαι λαβὼν ἰῆσθαι, καὶ οὕτω ταχέως ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος δέεται μελέτης πολλῆς· χαλεπὴ γάρ.

45. Ἄλλος [6]εἰλεὸς ἰκτερώδης· ἐπιλαμβάνει μάλιστα μὲν θέρεος ὥρην ἐν [7]ἑλώδεσι χωρίοισιν οὗτος, μᾶλλον δὲ ἀπὸ ὑδροποσίης· [8]πολλοὶ δὲ ἤδη καὶ πρὸς τὸν ἥλιον εἰληθέντες τὸ νόσημα ἔλαβον, [9]τὴν κεφαλὴν ἀλγήσαντες. [10]Ἀλλὰ παραπλήσια τοῖσι πρόσθεν πάσχουσι, πλὴν τῆς χροιῆς, καὶ γὰρ ὠχρὸς γίνεται οἷον σίδιον, καὶ οἱ ὀφθαλμοὶ ἔστιν ὅτε ἰκτέρου πίμπλανται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, θεραπεύειν [11]χρὴ τοῖσιν αὐτοῖσιν οἷσι καὶ τὸν πρόσθεν· [12]διδόναι δὲ τὸ ἀπ' ἐρεβίνθων λευκῶν ὕδωρ ἑψῶν πίνειν, καὶ ἐν τῷ οἴνῳ διακιρνᾷν [13]καὶ διδόναι, καὶ τὴν κεφαλὴν αὐτέου καθαίρειν τῷ τετραγώνῳ. Οὗτος ἧσσον τοῦ [14]προτέρου θανατώδης· καλέεται δὲ εἰλεὸς ἰκτερώδης.

[1] Ὑποτρ. (sic) J. — [2] τὴν.... ὑποτροπιάσῃ om. J. — [3] ἐγγίνεται θ, Mack. – λεπτὸς repetitur I. — [4] ἐνίοτε om. E. – ἐνίοτε ὕδερος ἐγγίνεται θ. – αὐτὸν om., restit. al. manu H. – μὲν pro αὐτὸν θ. — [5] ἀπὸ τοῦ σπλ. H. – βούλεσθαι μελετᾷν (ἢν μὴ pro μελ. FGHIJ, Ald.) vulg. – βούλεσθαι λαβὼν ἰῆσθαι θ. – ταχὺ γὰρ pro καὶ οὕτω ταχέως θ. – οὕτως E. – Ante ὑγ. addit γὰρ H. – ποιήσῃς EGJ, Ald., Frob. – πολλῆς om. EH. — [6] εἴλεος I. – ἰκτ. om., al. manu ἰκτεριώδης H. – μὲν μάλιστα, al. manu μάλ. μὲν H. – ὥρῃ θ, Mack. — [7] ἐλ. IJ, Frob. – οὗτος om. θ. – μάλιστα δ' ἐπιλαμβάνει ἀφ' ὑδροπωσίης (sic) θ. – Ante ἀπὸ addit ὑπολαμβάνει H. – ὑδρωποσίης HI. — [8] πολλοὶ δὲ ἤδη τῷ τοιούτῳ νουσήματι ξυνεσχέθησαν καὶ εἰληθερήσαντες Lind. – πολλοὶ δὲ ἤδη καὶ πρὸς τὸν ἥλιον εἰληθέντες (εὐνασθέντες θ) τὸ τοιοῦτον (τοι. al. manu H; τοι. om. θ) νόσημα ἔλαβον EHP'Q'θ. – πολλοὶ δὲ ἤδη τῷ τοιούτῳ συνεσχέθησαν καὶ ὑπὸ τὸν ἥλιον εἰληθέντες (εἰλ. J) vulg. — [9] καὶ τὴν Lind. — [10] τὰ δ' ἄλλα παραπλήσια τῷ πρόσθεν πάσχουσι θ. – πρόσθε, al. manu θεν H. – οὗτος γὰρ pro καὶ γὰρ EHP'Q'. – Post γὰρ addit οὗτος Mack. – οἷόν περ θ. – ὥστε pro ὅτε Lind. — [11] χρὴ om. (H, restit. al. manu) θ. – αὐτοῖσι om. J. — [12] διδόναι δὲ καὶ ἀπ' ἐρ. λ. ἑψῶν τὸ ὕδωρ πίνειν θ, Mack. – δὲ EHQ', Lind. – δὲ om.

qu'il le puisse, en proportion des aliments. Il mangera des feuilles cuites de sureau et de la conyza toujours tendre. Ainsi traité, le malade sera dans le meilleur état ; et la maladie cessera au bout d'un an. Plusieurs, déjà guéris, ont eu, au bout de deux ans, une récidive. Il faut, s'il y a récidive, suivre le même traitement. En cas d'une troisième récidive, le malade n'a point de gonflement, il devient mince et maigre ; l'amaigrissement commence au visage ; la coloration est plus blanchâtre qu'auparavant. Quelquefois une hydropisie se forme dans le ventre ; si cela arrive, on n'incisera pas ; car il succombera ; mais on traitera de la même façon que dans l'hydropisie provenant de la rate. On doit particulièrement désirer de prendre le traitement dès le début du mal ; et de la sorte on guérira promptement le malade. Cette maladie exige de grands soins ; car elle est difficile.

45. (*Dyscrasie probablement de nature scorbutique.*) Autre ; iléus ictérode : cette affection attaque surtout en été dans des localités marécageuses, et après qu'on a bu de l'eau abondamment. Beaucoup aussi, échauffés par le soleil, ont gagné la maladie, après avoir eu mal à la tête. Les accidents sont semblables au cas précédent, sauf la couleur, qui est jaune comme une écorce de grenade. Parfois aussi les yeux se remplissent d'ictère. Les choses étant ainsi, on traitera par les mêmes moyens que dans le cas précédent. On fera cuire des pois chiches blancs, et on en donnera l'eau à boire. On coupera aussi avec cette eau du vin qu'on fera boire. On purgera la tête avec le tetragonum (*antimoine?*) (*voy. note* 13). Cette affection est moins dangereuse que la précédente ; elle se nomme iléus ictérode.

vulg. – δἑφῶν τὸ ὕδωρ EH. – κιρνὰς (H, al. manu διακιρνᾶν) θ, Mack. — [13] καὶ om. EHθ, Mack. – Gal. Gl. : τετραγώνῳ, τινὲς μὲν ταῖς εὑρισκομέναις κατὰ τὸ στίμμι πλαξί· τινὲς δὲ αὐτὸ τὸ στίμμι. – Mack ne peut pas admettre qu'il s'agisse ici de l'antimoine, et il propose de lire τῇ τετραγωνίᾳ, plante dont parle Théophraste, H. P., III, 6, et dont les fruits, à la dose de trois ou quatre, évacuent par le bas et même par le haut. — [14] πρόσθεν θ. – εἴλεος I.

46. [1]Εἰλεὸς αἱματίτης· τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτὰ τοῖσι πρόσθεν· ἄρχεται δὲ μετοπώρου γίνεσθαι τὸ νούσημα. [2]Τάδε δὲ ἐν τῷ νουσήματι προσγίνεται· ἐκ τοῦ στόματος κακὸν ὄζει, [3]καὶ ἀπὸ τῶν ὀδόντων τὰ οὖλα ἀφίσταται, καὶ ἀπὸ τῶν ῥινῶν αἷμα ῥέει. Ἐνίοτε δὲ καὶ ἐκ τῶν [4]σκελέων ἕλκεα ἐκφλυνδάνει, καὶ τὰ μὲν ὑγιαίνεται, τὰ δὲ ἄλλα προσγίνεται, καὶ ἡ χροιὴ μέλαινα, καὶ λεπτόδερμος· περιφοιτῆν δὲ καὶ ταλαιπωρέειν [5]οὐ πρόθυμος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τούτοισιν ἰῆσθαι οἷσι καὶ τοὺς πρόσθεν, καὶ κλύζειν τοῖσδε· σικύου τοῦ ἀγρίου πέντε φύλλα τρῖψαι λεῖα, καὶ παραμῖξαι μέλιτος ἡμικοτύλιον, καὶ ἁλῶν δραξάμενος τῇ μιῇ χειρὶ, καὶ ἐλαίου ἡμικοτύλιον, καὶ ἀπὸ τεύτλων ἑφθῶν τοῦ χυλοῦ τέσσαρας κοτύλας· διδόναι δὲ ἐς ὑποκάθαρσιν ὀνείου γάλακτος ἑφθοῦ κοτύλας ὀκτὼ μέλι [6]παραχέων· πινέτω [7]δὲ καὶ βόειον τὴν ὥρην, τεσσαράκοντα ἡμέρας· πινέτω δὲ καὶ τὸ ἕωθεν τοῦ βοείου γάλακτος δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων τὰς μεταξὺ τῶν ἡμερέων. Αὕτη ἡ νοῦσος δέεται πολλῆς ἰήσιος· εἰ δὲ μὴ, οὐκ ἐξέρχεται, ἀλλὰ ξυναποθνήσκει τῷ ἀνθρώπῳ· καλέεται δὲ εἰλεὸς αἱματίτης.

47. [8]Τὰ παχέα καλούμενα νοσήματα· ἐκ δὲ τῶν παχέων καλουμένων νουσημάτων τάδε μάλιστα γίνεται· ὁκόταν φλέγμα καὶ χολὴ μιχθῇ κατὰ τὸ σῶμα, συῤῥέει ἐς τὴν κοιλίην, καὶ ὁκόταν ἁλισθῇ ἐν τῇ κοιλίῃ, ἀείρεται, [9]ἄνω τε καὶ κάτω ἀνατρέχει ὥσπερ κῦμα, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη καθέστηκε, καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα ἡ ὀδύνη καταστῇ, πνίγα παρέχει·

[1] Εἴλεος pro εἰλ. αἱμ. I. – ἄλλος εἰλεὸς pro εἰλ. αἱμ. EH. – εἴλεος J. – ταὐτὰ, al. manu τὰ αὐτὰ H. – νόσ. EH. — [2] τὰ δὲ, al. manu τάδε δὲ H. – δὲ om. Mack. – νόσ. H. – σώματι pro νουσ. E. — [3] ἀπὸ τῶν ὀδόντων καὶ τὰ vulg. – καὶ ἀπὸ τῶν ὀδόντων τὰ θ, Mack. — [4] σκελῶν GJ. – ἐκφυνδάνει (E, al. manu φλυν) FG (H, al. manu) J, Lind. – παραγίνεται θ. — [5] οὐ θ, Lind., Mack. – οὐ om. vulg. – οὕτω H. – τρίψας J. – ἁλῶν δραξάμενος, comp. Platon, Lysis, 16, ἁλῶν δραξόμενοι. — [6] παραχέας, al. manu ων H. – πινέτω.... ἡμέρας om. J. — [7] δὲ om. FG. – τεσσαράκοντα πέντε ἡμέρας θ. – παραμίσγοντας (παραμίσγων Lind., Mack) καὶ (δὲ pro καὶ EIJQ'; καὶ om. θ) μεταξὺ vulg. – La conjecture de Lind. n'est pas la bonne; lisez παραμίσγων τὰς au lieu de παραμίσγοντας, et supprimez, avec θ, καὶ de vulg. Comparez De la Nature de la femme, § 2, μεταξὺ δὲ ἡμέρας πινέτω, *boire dans les jours intermédiaires*; voyez aussi dans ce tome VII, p. 96, l. 4, τὰς δὲ μεταξὺ τῶν ἡμερέων. – πουλλῆς G, Ald., Frob. – ἰήσεως J. – συναπ. EHJ. – τῷ ἀνθρώπῳ om. EHP'θ. – εἴλεος I. – εἶλεος J. — [8] τὰ.... νουσημάτων om., restit. al. manu H. – παχέα δὲ τάδε τὰ νουσήματα καλέεται· τάδε δὲ ἀπὸ

46. (*Scorbut.*) Iléus sanguin : les accidents sont en général les mêmes que dans les cas précédents. La maladie commence en automne. Voici ce qu'il y a en plus : la bouche sent mauvais ; les gencives se détachent des dents ; du sang coule des narines. Parfois il se développe des ulcérations aux jambes ; les unes guérissent ; d'autres surviennent. La couleur est noire. La peau s'amincit. Le malade n'est pas disposé à marcher ni à prendre de la peine. Les choses étant ainsi, on le traitera par les mêmes moyens que les précédents. On lui préparera le lavement suivant : pilez bien cinq feuilles de concombre sauvage (*momordica elaterium*), mêlez-y une demi-cotyle de miel, une poignée de sel, une demi-cotyle d'huile et quatre cotyles d'eau de bettes bouillies. On donnera aussi pour purgation huit cotyles de lait d'ânesse cuit avec addition de miel. Dans la saison le malade boira du lait de vache pendant quarante jours. Il boira aussi, le matin, deux cotyles de lait de vache, avec mélange d'un tiers de mélicrat, dans les jours intermédiaires. Cette maladie a besoin d'être très-soignée ; sinon, elle ne passe pas, et finit avec le malade ; elle se nomme iléus sanguin.

47. (*Névropathie générale; pertes séminales. Le* § 1er *du* Deuxième livre des Maladies, *paragraphe qui est évidemment mutilé, paraît être un fragment, autrement rédigé, de cette description-ci. On trouve des cas d'affections analogues dans les recueils ; voyez, par exemple, dans un mémoire de M. le docteur Fleury,* Gazette médicale de Paris, 1850, n° 16, *une observation de névropathie qui mettra sur la voie de pareilles descriptions.*) Maladies dites épaisses : voici les principaux accidents des maladies dites épaisses : quand le phlegme et la bile se mêlent dans le corps, ils affluent dans le ventre ; et, s'y étant accumulés, ils se gonflent ; en haut et en bas court une espèce de flot. Le fris-

τῶνδε μάλιστα γίνεται θ. – νουσήματα I, Lind., Mack. – νοσημάτων IJ. – Post τάδε addunt ἀπὸ τῶνδε EH. – ῥέει vulg. – συρρέει θ, Mack. — [9] καὶ ἄνωτε H. – ἀνέρχεται supra lin. priore manu, ἀνατρέχει in textu recentiore manu H. – χύμα J. – πνίγα EFGHIJK, Ald., Frob. – πνῖγμα vulg.

[1]ἐνίοτε δὲ ἐμέει λάπην ὀξείην, ἐνίοτε [2]δὲ καὶ ἁλμυρὴν, καὶ ὁκόταν ἀπεμέσῃ, πικρὸν τὸ στόμα δοκέει αὐτῷ εἶναι. Ἐν δὲ τῇσι πλευρῇσιν [3]ἐρυθήματα καταχεῖται· ἅτε γὰρ τοῦ φλέγματος ἐν τῇ κοιλίῃ ἐόντος, τὸ αἷμα ὑπὸ θερμασίης ἁλισθὲν προσέπεσεν [4]ἐς τὰ πλευρὰ, καὶ ἐρυθήματα ἐκχεῖται ἐν τῇσι πλευρῇσι, [5]καὶ θερμασίη ἔχει μάλιστα τὰς πλευράς· καὶ τὸ μετάφρενον αὐτοῦ ἔγκυρτον γίνεται· καὶ ὁκόταν πονέῃ μάλιστα, οὐκ ἀνέχεται ψαυόμενος τοῦ σώματος· ἀλγέει γὰρ ὁκοῖόν περ ἕλκος· καὶ αἱ σάρκες πάλλονται ὑπὸ τῆς ἀλγηδόνος, καὶ [6]οἱ ὄρχιες ἕλκονται, καὶ ἐς τὴν καθέδρην καὶ ἐς τὴν κύστιν θέρμη [7]τις καὶ ὀδύνη ἐμπίπτει, καὶ οὐρέει παχὺ ὁκοῖόν περ ὕδρωπα, καὶ ἐκ τῆς κεφαλῆς αἱ τρίχες ἐκρέουσι, [8]καὶ τὰ σκέλεα καὶ οἱ πόδες αἰεὶ ψυχροὶ, καὶ ἡ ὀδύνη πιέζει μάλιστα τὰς πλευρὰς καὶ τὸ μετάφρενον καὶ τὸν τράχηλον· πρὸς δὲ τῷ δέρματι δοκέει [9]οἷ τι προσέρπειν. Ἡ δὲ νοῦσος ὁτὲ μὲν πιέζει, ὁτὲ [10]δὲ ἀνίησι· προϊούσης δὲ τῆς νούσου συνεχέστερον πιέζει, καὶ τῆς κεφαλῆς τὸ δέρμα παχὺ καὶ ἐρυθρόν ἐστιν. Οὗτος μέχρι μὲν ἓξ ἐτέων τοιαῦτα πάσχων [11]διατελέει· ἔπειτα ἱδρώς τε πουλὺς καταχέεται καὶ κάκοδμος· πολλάκις [12]δὲ καὶ ὀνειρώσσει, τὸ δὲ λάγνευμα ὕφαιμον προέρχεται ὑποπέλιδνον. [13]Τοῦτο τὸ νούσημα γίνεται διὰ θερμασίην τοῦ ἡλίου καὶ ὑδροποσίην. Τοῦτον τοιγαροῦν ὁκόταν οὕτως ἔχῃ, τοῦ κνεώρου διδοὺς ὑποκαθαίρειν ἢ τοῦ κνιδίου κόκκου ἢ τοῦ ἱππόφεω· δίδου [14]δὲ πίνειν καὶ γάλα ὄνειον, ἑψήσας ὀκτὼ κοτύλας, μέλι παραχέων· τῇ [15]δὲ ὑστεραίῃ μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν ἃ καὶ τοῖσιν ἄλλοισι· [16]τὰς δὲ πρώτας

[1] Καὶ ἐνίοτε EH (θ, εὐθὺς pro ἐνίοτε). – μὲν pro δὲ E (H, al. manu δέ). – δὲ om. θ. – Ante λάπην addunt καὶ GIJ. — [2] δὲ καὶ om. (H, δὲ restit. al. manu) θ. – καὶ om. E, Gal. in cit., t. XVII, p. 439. — [3] ἐρυθήματα (ἐρυθήματι FGHIJQ'; ἐρυθήμασι Lind.) κατέχεται (καταχεῖται θ) vulg. – ἐντὸς pro ἐόντος GHIJ. – ἐνόντος θ. – τὸ δ' αἷμα θ. — [4] πρὸς Q'θ, Lind. – τὰς πλευρὰς θ. – παρέχει (ἐκχεῖται καὶ pro παρ., al. manu παρέχει H) ἐν vulg. — [5] Ante καὶ addit καὶ δηγμὸς θ. – ἔγκυρτον αὐτοῦ EH. – πονῇ vulg. – πονέῃ θ. – Ante οὐκ addit καὶ Lind. – ψαυομένου θ. – ὁποῖον E. – ὅκως, al. manu ὁποῖον H. – ὡς pro ὁκοῖον θ. – παρ' pro περ FIJ, Ald. — [6] οἱ om. (H, restit. al. manu) θ. – ἕλκουνται (sic) θ. — [7] τις om. θ. – ὁποῖον E. – ὕδρωπες vulg. – ὕδρωπος FGJ. – ὕδρωπα (H, al. manu πες) θ. – ἐκρέουσι θ, Mack. – ῥέουσι vulg. — [8] καὶ τὰ σκέλεα EHP'Q', Lind., Mack. – καὶ τὰ σκ. om. vulg. – ἀεὶ vulg. – αἰεὶ EH, Lind., Mack. — [9] οἷ I. – τί οἱ EH. – οἷόν τι Jθ. – τότε (bis) I. – τοτὲ (bis) J. – ποτὲ (bis) EHP'Q', Lind., Mack. — [10] δ' EH. – ἀνίασι H. – προϊοῦσα δ' ἡ νοῦσος θ, Mack. – γίνεται pro ἐστιν θ, Mack. — [11] Ante διατ. addit καὶ H. – κάκοδμος γίνεται (γίν. om., H restit. al. manu, θ) vulg. — [12] δὲ καὶ ἐπὶ (ἐν θ)

son et la fièvre surviennent. La douleur s'établit à la tête; et, quand elle se porte sur les viscères, elle cause de l'étouffement. Parfois le malade vomit de la pituite acide, d'autrefois salée; après avoir vomi, il a la bouche amère. Des érythêmes se répandent sur les côtés; en effet, le phlegme étant dans le ventre, le sang accumulé par la chaleur se jette sur les côtés, et des érythêmes s'y développent; la chaleur aussi est surtout aux côtés; et le dos s'incurve. Quand le patient est dans le fort de la souffrance, il ne supporte pas qu'on le touche; car la douleur qu'il ressent est comme celle d'une plaie. Les chairs ont des palpitations par l'effet de la souffrance; les testicules se rétractent; de la chaleur et de la douleur s'emparent du siége et de la vessie; l'urine est épaisse comme une hydropisie; les cheveux tombent; les jambes et les pieds sont toujours froids. La douleur se fait surtout sentir aux côtés, au dos et au cou. Il semble au malade que quelque chose lui rampe sur la peau. Cette maladie, tantôt accable davantage, tantôt se relâche; mais, en se prolongeant, elle devient plus continue; la peau de la tête s'épaissit et rougit (*Comp.* des Maladies, livre deuxième, § 1). Le patient reste en cet état pendant six ans; puis vient une sueur profuse et fétide; souvent aussi il a des pollutions, et le sperme est sanguinolent et livide. Cette maladie vient par la chaleur du soleil et par boire de l'eau. Les choses étant ainsi, purgez en donnant le cnéoron, ou le grain de Gnide, ou l'hippophée; faites boire aussi le lait d'ânesse cuit, à la dose de huit cotyles, avec addition de miel. Le lendemain, après la purgation, on lui administrera les mêmes

τῷ ὕπνῳ (addit ὀνειρώττει al. manu H) τὸ δὲ (δὲ om. θ) λάγνευμα Hθ. – δὲ καὶ ἐπὶ τῷ ὕπνῳ ὀνειρώττει· τὸ δὲ λ. EQ'. – τούτου (τοῦδε EFJ; τούτου om., H al. manu τοῦδε, θ) ὕφαιμον vulg. – [καὶ] ὑποπέλ. Lind. — [13] τοῦτο.... ὑδροποσίην om. θ. – τοῦ pro τοῦτο E. – νόσημα EH. – ὑδρωποσίην GHI. – τοιγαροῦν om. EHP'Q'. – οὕτω H. – κνεωρίου GIJ. – κναιώρου E. – ἱπποφέω (E, al. manu ἱπποφαέως) FGHIJ, Ald. – ἱπποφαέως vulg. – ἱππόφεω Lind., Mack. — [14] δὲ πίνειν om., restit. al. manu H. – Ante ὀκτὼ addit πίνειν H. — [15] δ' EH. – ὑστερέη J. — [16] τὰς.... αὐτὰ om. θ. – ὃς ὑπὸ τοῦ ὑδέρου ἑάλω· πονείτω καὶ περιόδοισιν θ.

ἡμέρας εὐωχεέσθω τὰ αὐτὰ ἃ καὶ ὅστις ὑπὸ ὑδέρου ἑάλω· καὶ πονεέτω περιόδοισιν, ἢν δυνατὸς ᾖ· ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τῶν πυρετῶν καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρεέσθω [1]ῥοφήματι φακῇ· ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. Αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μετοπώρου καὶ ὀπώρης ἐούσης. Οὗτος ἢν μὴ ἰηθῇ ἐν τοῖσιν ἓξ ἔτεσιν, προσίσχει ἡ νοῦσος καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν· πολλοῖσι δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ παραχρῆμα μελετηθῇ.

48. [2]Ἄλλο παχύ· γίνεται μὲν ἀπὸ χολῆς, ὁκόταν [3]χολὴ ἐπὶ τὸ ἧπαρ ἐπιῤῥυῇ καὶ [4]κατὰ τὴν κεφαλὴν καταστῇ. Τάδε οὖν πάσχει· τὸ ἧπαρ οἰδέει, καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος, καὶ εὐθὺς ἐς τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει, μάλιστα δὲ ἐς τοὺς κροτάφους· καὶ τοῖσιν ὠσὶν οὐκ ὀξὺ ἀκούει, πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ· καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. Ταῦτα μὲν καταρχὰς τοῦ νουσήματος αὐτῷ γίνεται, [5]γίνεται δὲ διαλιμπάνοντα, ὁτὲ μὲν σφόδρα, ὁτὲ δὲ ἧσσον· ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ τε πόνος [6]πλείων ἐν τῷ σώματι, καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαυγέει, [7]καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται διὰ τὸ μὴ ὁρῆν· [8]τούτῳ δ' ἂν γνοίης ὅτι οὐχ ὁρῇ, ὅτι οὐ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. Καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἤν περ ἴδῃ, δοκέων φθεῖρας αὐτὰς εἶναι. Καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυγῇ πρὸς τὰς φρένας, παραφρονέει· καὶ [9]προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν ἑρπετὰ

[1] Ῥυφ. EGHIJ, Ald. – ὡς om. θ. – οὗτος ἢν μὴ ἰηθῇ ἐν τοῖσιν ἓξ ἔτεσι, προσίσχει ἡ νοῦσος καὶ ἄχρι θ, Mack. – οὗτος ἢν μὲν ἰηθῇ ἐν τοῖς (τοῖσιν E, H al. manu) ἔτεσιν· εἰ δὲ μὴ, προσέχει καὶ (προσέχειν sine καὶ E) ἄχρι vulg. – ἐνιαυτῶν om., restit. al. manu H. – ἐτέων δέκα pro τῶν δεκὰ ἐνιαυτῶν θ, Mack. – πουλλοῖσι GI, Ald., Frob. – συναπ. EHIJ. — [2] παχέα (παχ. om. EF GHIJK, Ald., Lind., Mack) (addunt ἄλλο παχὺ EF, G ἄ. νούσημα παχὺ, HIJQ', Lind., Mack)· τὰ δὲ τοιάδε (τοιάδε om., restit. al. manu H) (addunt παχέα EFGHIK, Vatic. exempl. ap. Foes, Ald., Lind.) τῶν νουσημάτων (νοσ. HIJ) γίνεται (γίνεται τῶν νοσημάτων EK) (γίνεται om., restit. al. manu ante τῶν H) ἀπὸ χολῆς, (addit ἄλλο παχὺ γίνεται μὲν ἀπὸ χολῆς, obliter. al. manu H) ὁκόταν vulg. – ἄλλο παχύ· γίνεται μὲν ἀπὸ χολῆς, ὁκόταν θ. — [3] χολὴ om. (H, restit. al. manu) θ, Mack. – [δὴ] χολὴ Lind. — [4] ἐς EHK P'Q'θ, Lind., Mack. – αὐτοῦ τοῦ νουσήματος sine αὐτῷ θ. – νοσ. EHIJK. — [5] γίνεται δὲ θ. – γίν. δὲ om. vulg. – Post διαλιμπ. addit δὲ Lind. – ποτὲ (bis) Lind. – τότε (bis) HI. – τοτὲ (bis) EJ. — [6] πλεῖον H. – σώματι [γίνεται] Lind. – σκίδναται H. – Gal. Gl. : σκιαυγέει, ἀμβλυώττει. — [7] κἢν EHIJ. – ὁρᾶν E. — [8] τοῦτο EJ. – καὶ γὰρ pro ὅτι οὐ K. – οὐ γὰρ pro ὅτι οὐ E. – χροκύδας EH

choses qu'aux précédents. Les premiers jours il mangera ce que mange le malade atteint d'hydropisie, et prendra l'exercice de la promenade, s'il en a la force ; s'il ne le peut à cause des fièvres, et qu'il lui soit impossible de manger, il aura pour potage la bouillie de lentilles, pour boisson un vin noir très-astringent. Cette maladie attaque surtout en automne et dans la saison des fruits. Si le malade n'est pas guéri dans les six ans, l'affection se prolonge et va jusqu'à dix ans ; chez beaucoup elle ne finit qu'avec la vie, si elle n'est pas traitée sur-le-champ.

48. (*Cette maladie paraît être un transport au cerveau, un cas de manie aiguë. On remarquera les circonstances où l'auteur dit qu'elle attaque : voyage en pays étranger, route déserte, vision, et la singulière conformité de ces indications avec l'accès de manie qui frappa le roi Charles VI.*) Autre maladie épaisse : elle provient de la bile, quand la bile afflue au foie et se porte à la tête. Voici les accidents : le foie se gonfle, et, par l'effet du gonflement, se déploie contre les phrènes (*diaphragme*) (*comp.* Épid. VI, 8, 28). Aussitôt une douleur se fait sentir à la tête, surtout aux tempes ; l'ouïe n'est plus fine, souvent même le malade ne voit plus ; le frissonnement et la fièvre surviennent. Ces accidents viennent au début de la maladie ; mais ils viennent d'une manière intermittente, tantôt plus forts, tantôt moins forts. Plus la maladie se prolonge, plus la souffrance du corps s'accroît ; les pupilles se fendent ; il y a amblyopie ; si vous approchez le doigt des yeux, le malade ne s'en aperçoit pas, attendu qu'il ne voit point ; vous connaîtrez qu'il n'y voit point à ce qu'il ne cligne pas à l'approche du doigt. Il ôte les filaments de sa couverture, s'il y voit, croyant que ce sont des poux. Quand le foie se déploie davantage contre les phrènes (*diaphragme*), il délire ; il lui semble qu'apparaissent devant ses yeux des reptiles, d'autres bêtes de toute espèce, des ho-

JK. – ἤδη pro ἴδῃ H. – φθείρας (sic) JK. – αὐτὰς om. (H, restit. al. manu) θ, Mack. – ἐπεῖναι pro εἶναι E (H, ἐφεῖναι, al. manu ἐπεῖναι). — [9] φαίνεσθαι EK.

καὶ [1]ἄλλα παντοδαπὰ θηρία καὶ ὁπλῖται μαχόμενοι, καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι, καὶ τοιαῦτα λέγει ὡς ὁρέων μάχας καὶ πολέμους, καὶ ἐπέρχεται, καὶ ἀπειλέει, ἢν μή τις αὐτὸν ἐῇ ἐξιέναι· [2]κἢν ἀναστῇ, οὐ δύναται ἀείρειν τὰ σκέλεα, ἀλλὰ καταπίπτει· καὶ οἱ πόδες αὐτοῦ αἰεὶ ψυχροί· καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει [3]ἀπὸ τοῦ ὕπνου, καὶ φοβέεται, ὁκόταν ἐνύπνια ἴδῃ φοβερά. [4]Τῷδε δὲ γινώσκομεν, ὅτι ἀπὸ ἐνυπνίων ἀΐσσει [5]καὶ φοβέεται· [6]ὁκόταν ἔννοος γένηται, [7]ἀφηγεῖται τὰ ἐνύπνια, ὁκοῖα καὶ τῷ σώματι ἐποίεε καὶ τῇ γλώσσῃ ἔλεγε. Ταῦτα μὲν οὕτω πάσχει. Ἔστι δ' ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα ἀναπνέων [8]πολλὸν τὸ πνεῦμα ἀθρόον. Ὁκόταν δὲ παύσηται παραφρονέων, [9]εὐθὺς παραχρῆμα ἔννοος γίνεται, καὶ ἢν ἐρωτῇ τις αὐτὸν, [10]ὀρθῶς ἀποκρίνεται, καὶ γινώσκει πάντα τὰ λεγόμενα· εἶτ' αὖθις ὕστερον ὀλίγῳ χρόνῳ ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. Αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα ἐν [11]ἀλλοδημίῃ, καὶ ἤν κου ἐρήμην ὁδὸν βαδίζῃ [12]καὶ ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος· λαμβάνει δὲ καὶ ἄλλως. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας, διδόναι [13]δὲ ἐν οἴνῳ γλυκεῖ, ἢ κλύζειν αὐτὸν ἐν τούτοισι· νίτρου Αἰγυπτίου ὁκόσον ἀστράγαλον ὄϊος, τοῦτο τρῖψαι λεῖον, καὶ παραμῖξαι μέλιτος καλλίστου ἡμικοτύλιον, [14]ἑψήσας, ἐν θυείῃ, καὶ ἡμικοτύλιον ἐλαίου καὶ ἀπὸ τεύτλων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας ἐξαιθριάσας· ἢν δὲ βούλῃ, ἀντὶ τεύτλου ὄνειον γάλα ἑψήσας παραμῖξαι· ταῦτα [15]μίξας κλύζειν, ἤν τε πυρετὸς ἔχῃ ἤν τε μή. Ῥοφήμασι δὲ χρεέσθω πτισάνῃ καθέφθῳ, μέλι παραχέων· πινέτω δὲ [16]μέλι καὶ ὕδωρ καὶ ὄξος συγκεράσας ἅμα, ἕως ἂν κριθῇ ἡ νοῦσος· κρίνεται [17]δὲ ἐν δεκατέσ-

[1] Ἀλλοῖα vulg. – ἄλλα EHKP'Q'θ, Lind., Mack. – μάχας καὶ πολέμους om. (H, restit. al. manu) θ. — [2] κἢν EHK. – κἂν vulg. – πίπτει (H, al. manu κατα) θ. – οἱ δὲ sine καὶ θ. – αὐτοῦ om. (H, restit. al. manu) θ. – ἀεὶ EHJK. — [3] ἐκ, al. manu ἀπὸ H. – φοβεῖται E. — [4] τάδε EFG (H, al. manu, erat prius τῶδε) IJK. – δὲ om., restit. al. manu H. – γινόσκομεν (sic) K. — [5] καὶ (ὅτι pro καὶ Lind.; καὶ om. vulg.) EHKK'. – φοβερὰ pro φοβέεται θ. — [6] καὶ (καὶ om. EFGHIJKK', Ald.) ὁκόταν vulg. — [7] Ante ἀφ. addunt καὶ FG, Ald. – Post ἀφ. addit γὰρ K'. – ἀφηγῆται G, Ald. – Ante ὁκοῖα addit τοιαῦτα ὁρᾶν K'. – ἐποίει (ἐποίεέ τε θ) καὶ vulg. – καίεται, al. manu κέεται H. – ἡμέραν J. — [8] ἀθρόον πολλὸν τὸ πνεῦμα EH. — [9] εὐθὺς om. E. – παραχρῆμα om. K', Lind. — [10] εὐθὺς (ὀρθῶς K'θ, Mack) ἀποκρίνεται vulg. – αὖτις EH. – ὀλίγον ὕστερον pro ὕστερον ὀλίγῳ χρόνῳ θ. — [11] ἀποδημίῃ K', Lind., Mack. – που EHK. — [12] καὶ om. GIJ, Ald. – ὁ om. EH. – βάλει pro λάβῃ J. – ἐκ φάσμ. om.,

plites qui combattent; lui-même combat au milieu d'eux; et il parle comme voyant des combats et des guerres (des Songes, § 93); il se soulève, il menace si on ne le laisse pas aller; se mettant debout, il ne peut lever les jambes et il tombe. Ses pieds sont toujours froids; et, quand il dort, il s'élance de son sommeil et s'effraye, voyant des songes effrayants. Nous connaissons que ce sont des songes qui le font s'élancer et s'effrayer, à ce que, revenu à lui, les songes qu'il raconte sont conformes aux actes de son corps et aux paroles de sa bouche. Tels sont les accidents. Parfois aussi il gît tout un jour et toute une nuit, ayant une respiration forte et pressée. Quand il cesse de délirer, il reprend aussitôt la raison; si on l'interroge, il répond juste et sait tout ce qui est dit. Puis, peu de temps après, le voilà derechef dans les mêmes souffrances. Cette maladie survient surtout en voyage, quand on parcourt une route déserte et qu'une vision frappe d'épouvante; elle attaque aussi autrement. Les choses étant ainsi, on lui administrera cinq oboles d'hellébore noir, qu'on donnera dans du vin doux; ou bien on lui préparera ce lavement-ci : prenez nitre d'Égypte gros comme un osselet de mouton, pilez bien, mêlez dans le mortier une demi-cotyle de très-bon miel cuit, une demi-cotyle d'huile et quatre cotyles d'eau de bettes cuites qu'on a exposée au serein; si vous voulez, au lieu de l'eau de bettes, vous mettrez du lait d'ânesse cuit; tout cela mélangé sera pris en lavement, soit qu'il y ait fièvre ou non. Pour potage il aura la décoction d'orge très-cuite, avec addition de miel. Il boira un mélange de miel, d'eau et de vinaigre, jusqu'à ce que la

restit. al. manu H. – ἐκφάσματα pro ἐκ φάσμ. FJ. — [13] δὲ om., restit. al. manu H. – γλυκεῖ οἴνῳ HK. – γλυκέϊ Lind., Mack. – τοῖσι δὲ sine ἐν (H, al. manu ἐν τούτοισι) (θ, τοῖσδε). – ὀϊὸς EHIJK. – τρίψας λεῖον καὶ παραμίξας EP'. – Post μέλιτος addit ὡς θ. — [14] δὲ (δὲ om. E, H obliter. al. manu, K, Lind., Mack) ἑψήσας vulg. – θυμίη EFGHIJK, Ald. – ἐξεθριάσας (H, al. manu ἐξαι) I. — [15] τρίψας θ. – ῥυφ. EGHIJK, Ald. – πτισσ. E, Ald., Lind., Mack. – κακέφθω, al. manu θέ H. — [16] καὶ (καὶ om. EH) μέλι vulg. – συγκεράσαι J. – ξυγκ. Lind. – ἅμα om. (H, restit. al. manu) θ. — [17] δ' ἐν τεσσαράκοντα θ. – ἡμέραις, al. manu ησιν H. – ἡμεραίησιν (sic) EK.

σαρσιν ἡμέρῃσι τὸ μακρότατον, [1]ἤν τε θανάσιμον [2]ἤν τε οὔ. Πολλοῖσι δὲ ἤδη ἡ τοιαύτη νοῦσος πεπαυμένη πάλιν ὑπετροπίασεν· ἣν οὖν ὑποτροπιάσῃ, κίνδυνος αὐτὸν διαφθαρῆναι· κρίνεται δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσιν, [3]ἣν θανάσιμος ᾗ ἢ οὔ· ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει, ἀλλὰ τοῖσι πολλοῖσι μελεδαινομένη ἐξέρχεται. Ὁκόταν δὲ παύσηται ἡ νοῦσος, [4]διαίτῃ χρεέσθω καλῇ, ἡσύχως προσάγων ὁκόσα ἂν ἡ κοιλίη προσδέξηται καὶ μὴ ξυγκαυθῇ, μήτε διάῤῥοια [5]ἐπιγίνηται· ἀμφότερα γὰρ δοκέει κινδυνώδεα εἶναι· λουέσθω δὲ ἑκάστης ἡμέρης, καὶ περιπατεέτω μετὰ τὰ σιτία ὀλίγα· [6]ἐσθῆτα δὲ ἐνείσθω κούφην καὶ μαλθακήν· καὶ [7]γαλακτοποτεέτω τὴν ὥρην καὶ ὀῤῥοποτεέτω πέντε καὶ τεσσαράκοντα ἡμέρας. Ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης πολλῆς.

49. [8]Ἄλλο παχύ· γίνεται [9]μὲν ἀπὸ φλέγματος σαπέντος· τῷδε δὲ δῆλον γίνεται, ὅτι σαπρόν ἐστιν, ἐρεύγεται [10]γὰρ ἀπ' αὐτοῦ ἔχον τὴν ὀσμὴν, ὁκοῖόν περ ῥαφανῖδας φαγόντος. [11]Ἄρχεται δὲ γίνεσθαι τὸ τοιοῦτον νόσημα ἀπὸ τῶν σκελέων, [12]εἶτ' ἀπὸ τουτέων ἄνεισιν ἐς τὴν κοιλίην, καὶ ὁκόταν ἐν τῇ κοιλίῃ [13]στῇ, αὖθις ἀνατρέχει πρὸς τὰ σπλάγχνα, καὶ ὁκόταν [14]ἐπὶ τούτοισι στῇ, μύζει καὶ ἔμετον ἄγει, [15]ἅμα καὶ λάπην ὀξείην ὑπόσαπρον, καὶ ὁκόταν ἀπεμέσῃ, οὐκ ἔχει ἑωυτόν· ἔπειτα [16]ἀπορίη πρὸς τοῖσι σπλάγχνοισιν, ἐνίοτε δὲ καὶ ἐς τὴν κεφαλὴν ἐξαπίνης ὀδύνη στηρίζει ὀξείη· [17]καὶ τοῖσιν ὠσὶν ὀξέως

[1] Ἢ sine τε, al. manu ἤν τε H. – εἰ θ. – θανάσιμος EKθ. — [2] ἢ pro ἤν τε FHIJK. – πουλλοῖσι G, Ald., Frob. – ἤδη τοῦ νοσήματος (νουσ. KP') πεπαυμένου πάλιν ἡ νοῦσος ὑπετρ. EHKP'Q'. — [3] ἢ EHK. – εἰ Jθ, Mack. – πουλλοῖσι G, Ald., Frob., Mack. — [4] μελέτῃ pro διαίτῃ G, Ald. – καλῇ om., restit. al. manu H. – ὁκόσα ἡ vulg. – ὅκως ἂν ἡ θ, Lind., Mack. – ὁκόσα ἢν ἡ HK. – ὁκόσα ἂν ἡ EQ'. – προσδέξεται IJ. – συγκ. EHK. — [5] ἐπιγένηται K. – ἐπιγίγνηται J. – καὶ λουέσθω, sine δὲ, quod restitutum est al. manu H. — [6] καὶ ἐσθῆτα sine δὲ EKP'θ. – καὶ ἐσθῆτα καὶ (ἐγκείσθω al. manu pro καὶ) κούφην ἐχέτω (ἐχ. obliter. al. manu) καὶ μαλθ. H. — [7] γαλακτοπιέτω vulg. – γαλακτοποιέτω G, Ald. – γαλακτοποτεέτω EHIJKQ', Lind., Mack, Lobeck Phryn. Ecl., p. 573. – τὴν ὥρην om. (H, restit. al. manu) θ, Mack. – καὶ ὀῤῥ. om., restit. al. manu H. — [8] ἄλλο EHIJKθ, Mack. – ἕτερον vulg. — [9] δὲ (δὲ om. FGIJ; μὲν pro δὲ EHKQ'θ, Lind., Mack) ἀπὸ vulg. – Ante φλ. addit τοῦ E. – Post φλ. addit χολῆς G. – τὸ pro τῷδε EGHIJK. Ald. – δῆλον ὅθεν (ὅθεν om., H restit. al. manu, θ) vulg. — [10] γὰρ EQ'. – γὰρ om. vulg. – ἀπὸ τοῦ (τοῦ om. J) τοιοῦδε (αὐτοῦ Q') (ἀπ' αὐτοῦ EHθ) vulg. – τὴν ὀσμὴν ἔχον EH (θ, ὀδμήν). – ὁκοῖόν τις ῥαφανῖδας (ῥαφανίδας EFGHIJK, Ald., Frob., Mack) φαγὼν vulg. – ὁκοῖον (οἷόν θ) περ ῥαφανίδας φαγόντος EHKθ. — [11] τὸ δὲ (addit τοιοῦτον al. manu H) νόσημα (νούσ. θ) ἄρχεται ἀπὸ (ἐκ,

maladie soit jugée. Quatorze jours au plus jugent si elle est mortelle ou non. Chez beaucoup, la maladie, ayant cessé, récidive; dans cette récidive il est à craindre que le patient ne succombe; sept jours décident si elle est mortelle ou non. Si le malade passe ce terme, il ne succombe guère, mais chez la plupart le traitement en procure la guérison. Quand la maladie a cessé, le malade suivra un bon régime, augmentant peu à peu les aliments pourvu que le ventre les reçoive et n'en soit pas échauffé, pourvu aussi qu'ils ne produisent pas la diarrhée; car ces deux choses paraissent être dangereuses. Il se baignera tous les jours. Il se promènera un peu, après le manger. Il sera couvert d'un vetement léger et mollet. Dans la saison, il boira du lait et du petit-lait pendant quarante-cinq jours. S'il suit ces prescriptions, il guérira promptement; la maladie est difficile et demande beaucoup de soins.

49. (*Je n'ai à donner sur cette maladie aucune indication qui me satisfasse; cependant je suis porté à croire qu'il s'agit ici encore, comme dans les autres maladies épaisses, de quelque névropathie.*) Autre maladie épaisse : elle provient du phlegme corrompu. Ce qui montre qu'il est corrompu, c'est qu'il en résulte des rapports ayant l'odeur de ceux qu'on a après avoir mangé des raiforts. Cette maladie commence par les jambes, puis de là elle monte au ventre; quand elle est dans le ventre, elle fait derechef invasion sur les viscères. Une fois là, elle provoque des gargouillements et le vomissement qui entraîne en même temps une pituite acide et corrompue. Après le vomissement, le malade n'est plus à lui. Il éprouve de l'anxiété dans les viscères, et parfois aussi une douleur aiguë se fixe à

al. manu ἀπὸ H) τῶν σκελέων γίνεσθαι (γινόμενον θ) EHKθ. – νούσημα IJ, Lind. — [12] εἶτ' ἀνέρχεται ἐκ τῶν σκελέων (H, al. manu ἀπὸ τούτων ἄνεισιν) θ. – τούτων vulg. – τουτέων E. – ἀνέρχεται E. — [13] εἴη θ. – αὖτις EH. – ἀνέρχεται Hθ. — [14] πρὸς τοῖς σπλάγχνοις, al. manu ἐπὶ τούτοισι H. — [15] ἅμα (addit καὶ H, Ald.) λάπην ἐμῶν (ἐμῶν om., restit. al. manu F) ὀξείην vulg. – ἔχη FG, Ald. — [16] ἀπορείη EGHIK, Ald. – ἀπορρείη J. – δὲ om. Ald. – ἐξαπίνης om. K. – ὀξέως om. EFIJK. — [17] ὥστε τοῖσιν οὔλοισιν, eadem manu γέγρ. καὶ ὠσὶ, al. manu καὶ τοῖσιν ὠσὶν H. – οὐ om., restit. al. manu H. – ὁρᾶν EHK.

ἀκούειν οὐ δύναται οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ὁρῆν ὑπὸ τοῦ βάρεος· [1]ἱδρώς τε πολλὸς καταχέεται κάκοδμος, μάλιστα μὲν ἢν ἡ ὀδύνη ἔχῃ, καταχέεται δὲ καὶ ἢν ἡ ὀδύνη ᾖ καὶ λωφᾷ, καὶ τῆς νυκτὸς μάλιστα· ἡ δὲ χροιὴ αὐτοῦ ἰκτερώδης [2]δείκνυται. Αὕτη ἡ νοῦσος τῆς προτέρης ἧσσον μικρῷ θανατώδης. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην, κάτω μὲν τῷ ἱππόφεῳ, ἄνω δὲ τῷ ἐλλεβόρῳ, καὶ τὴν κεφαλὴν [3]καθαίρειν τῷ τετραγώνῳ· καὶ ὁκόταν ὑπὸ τοῦ ἐλλεβόρου κεκαθαρμένος ᾖ, τῇ ὑστεραίῃ [4]ὀνείῳ ἑφθῷ γάλακτι ὑποκαθαίρειν, τῇ δὲ τρίτῃ αἰγείῳ ἑφθῷ, [5]ὡσαύτως δὴ καὶ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ· [6]εἴκοσι δὲ ἄλλας ἡμέρας διδόναι ὠμὸν γάλα βόειον, εἴτε καὶ αἴγειον, τρίτον μέρος μελικρήτου παραμίσγων, πινέτω δὲ τοῦ γάλακτος χοέα· μετὰ δὲ τὴν κάθαρσιν τὴν κάτω τῶν φαρμάκων τὰ αὐτὰ προσφέρειν, ἃ καὶ [7]τοῖσιν ὑπὸ ὑδέρου κατεχομένοισι· τὸν δὲ λοιπὸν χρόνον, ὁκόταν τὸ γάλα πίνῃ, δειπνεέτω ἄρτον ἔξοπτον, ὄψον δὲ ἐχέτω [8]ἐν ἰχθύσι μὲν σκορπίον ἢ καλλιώνυμον ἢ κόκκυγα ἢ ῥίνης τέμαχος ἑφθὸν ἐν ἀρτύμασιν, [9]ἐν κρέασι δὲ οἰὸς ἢ ἀλεκτρυόνος νεοσσούς· ταῦτα ἑφθά· οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ, ἢν δὲ μὴ, [10]μέλανα αὐστηρόν· εἶτα περιπατεέτω μετὰ τὸ φαγεῖν, ὅκως ἂν μὴ ῥιγώσῃ. Τούτῳ [11]ἢν μὲν οὖν ξυμφέρῃ, τὰ σιτία διδόναι, ἢν δὲ μὴ [12]ξυμφέρῃ, ῥοφήματα διδόναι πτισάνης ἢ κέγχρου. Ταύτῃ τῇ νούσῳ ἢν [13]τριήκοντα ἡμέρας παρέλθῃ ὁ νοσέων, ὑγιαίνεται· αὗται γὰρ κρίνουσιν, ἢν θανάσιμος ἢ μή· ἡ δὲ νοῦσος χαλεπή.

[1] Ἱδρώς τε πουλὺς καταχεῖται καὶ κάκοδμος· μάλιστα μὲν ἢν ὀδύνη ἔχῃ, καταχεῖταί τε, καὶ ὁκόταν ἡ ὀδύνη λωφᾷ, καὶ τῆς νυκτὸς μάλιστα· ἡ δὲ χροιὴ θ. – ἵδρως τε πολλὸς καταχέεται κάκοδμος, μάλιστα μὲν ἢν ἡ ὀδύνη ἔχῃ, καταχέεται δὲ καὶ ἢν ἡ ὀδύνη ᾖ καὶ λωφᾷ (alia manu καὶ ποιεῖ λωφᾷν) τῆς νούσου μάλιστα· ἡ (δὲ addit. al. manu) χροιὴ H. – ἱδρώς τε πολλὸς (πουλλὸς GIJ, Ald., Frob.; πολλὺς Mack; πολλοῖς Lind.) καταχέεται κάκοδμος, καὶ (καὶ om. EK) μάλισθ' ὅταν (μάλιστα μὲν ἢν EKQ') ἡ ὀδύνη ἔχῃ, καὶ ποιεῖ (ποιῇ J; ποιέῃ Lind.) λωφᾷν τῆς νούσου (νόσου J)· ἡ δὲ χροιὴ vulg. — [2] γίνεται EHKP'Q', Lind., Mack. – μικρῷ om. EHKθ. – ἱπποφέῳ vulg. – ἱππόφεῳ Lind., Mack. — [3] καθαιρέτω τετραγώνω θ. – ἐν τῷ FGIJ. – ὑστερέῃ J. — [4] ἐν ὀνείῳ FG. – γάλακτι ἑφθῷ EHK. — [5] ὡσαύτως δὴ om., restit. al. manu cum δὲ H. – δὲ EK. — [6] ἄλλας δὲ εἴκοσι sine ἡμέρας (E, ἄλας sic) (H, addit ἡμέρας al. manu) K. – ἄλλας εἴκοσιν ὠμὸν βόϊον ἢ αἴγειον γάλα διδόναι θ. – ὠμὸν γάλα διδόναι EHK. – γάλα om. GIJ. – ἢ pro εἴτε καὶ EHK, Lind. – μελίκρητον GJ. – παραχέων θ. – πινεέτω vulg. – πινέτω GIJK, Lind., Mack. – χόεα HIJK, Ald., Frob. – Pour l'expression κάθαρσιν φαρμάκων, voy. p. 296, l. 14. — [7] ὅς (al. manu τοῖσιν) ὑπὸ τοῦ ὑδέρου ἔχεται (al. manu κατε-

la tête. Il ne peut ni bien entendre ni bien voir, à cause de la pesanteur qui l'accable. Une sueur abondante et fétide se répand sur le corps, surtout quand il y a douleur; elle se répand aussi quand la douleur qui existe se dissipe, et la nuit particulièrement. La coloration est ictérique. Cette maladie est un peu moins dangereuse que la précédente. Les choses étant ainsi, on purgera le ventre par le bas avec l'hippophée, par le haut avec l'hellébore; on purgera la tête avec le tétragonon (*voy. p.* 279, *note* 13). Quand le malade a été évacué par l'hellébore, le lendemain on le purge doucement avec le lait d'ânesse cuit, le surlendemain avec le lait de chèvre cuit, et semblablement le quatrième et le cinquième jour. Pendant vingt autres jours on donnera du lait de vache ou de chèvre, cru, avec addition d'un tiers de mélicrat; il boira un conge (3litres,24) de lait. Après la purgation par les médicaments, on prescrira ce qui est prescrit aux hydropiques. Le reste du temps, quand il boit le lait, il mangera à son dîner un pain très-cuit; pour mets, en fait de poissons, la scorpène, le callionyme, le coccyx (*rouget commun*), ou un morceau de raie bouclée à la sauce; en fait de viande, de l'agneau ou du poulet, cela bouilli. Il boira un vin blanc s'il lui est bon; sinon, un vin noir astringent. Il se promènera après le manger, de manière à ne pas prendre froid. Si donc cela lui est bon, il prendra les aliments solides; sinon, il aura, pour potage, de la décoction d'orge ou de panic. Dans cette maladie, le patient, s'il passe trente jours, guérit; car ce terme décide si le mal est mortel ou non; la maladie est difficile.

χομένοισι) H. — [8] ἐν ἰχθ. μὲν om., restit. al. manu H. - σκοπίον (sic) E. - τέμμαχος G, Ald. - τέμμαχον (sic) E. — [9] ἐν om. (H, restit. al. manu) θ. - χρέα θ. - διὸς I. — [10] Ante μελ. addunt ἄλλον EHK. - δεῖπνον (E, sine μετὰ, al. manu μετὰ τὸ φαγεῖν) HK. - ἂν om., restit. al. manu H. — [11] εἰ E. - μὲν om., restit. al. manu H. - οὖν om. K. - συμφ. HK. - συμφέρει E. - διδόναι ἃ εἴρηται (ἃ εἰρ. om. EHP'θ, Mack) vulg. — [12] σ. EHK. - Post ξ. addunt τὰ σιτία EK. - ῥυφ. EGHIK. - ῥόφημα διδόναι πτισάνην θ. - πτισσ. E, Ald., Frob., Lind. - κέχρου (sic) I. — [13] τριάκ. J. - ἡμέραι παρέλθωσιν, ὑγιαίνεται ὁ ἄνθρωπος EHK (θ, ὤνθρωπος). - γὰρ om., restit. al. manu K. - ἢ, al. manu ἦν H. - οὔ pro μή EHK. - νόσος EHK.

50. [1]Ἄλλο παχύ· γίνεται τὸ νούσημα ὑπὸ φλέγματος λευκοῦ· [2]ξυνίσταται δὲ ἐν τῇ κοιλίῃ, ὁκόταν [3]πουλυχρόνιοι κατάσχωσι τὸ σῶμα πυρετοί. Ἄρχεται δὲ τὸ νούσημα ἐκ τοῦ προσώπου γινόμενον, [4]καὶ οἰδέει τὸ πρόσωπον, εἶτα κατέρχεται ἐς τὴν κοιλίην, καὶ ὁκόταν [5]στῇ ἐν αὐτῇ, ἀείρει μεγάλην τὴν γαστέρα, καὶ τὸ σῶμα κοπιᾷ ὡς ὑπὸ ταλαιπωρίης, [6]καὶ ἐν τῇ κοιλίῃ βάρος ἴσχει καὶ πόνος ἰσχυρός· καὶ οἱ πόδες οἰδέουσι. [7]Καὶ ἢν χυθῇ ὑετὸς ἐπὶ τῆς γῆς, [8]τῆς κόνιος ὀδμώμενος οὐκ ἀνέχεται· ἢν δὲ ἑστηκὼς τύχῃ ἐν τῷ ὑετῷ καὶ ὀδμηθῇ τῆς γῆς, ἐξαπίνης πίπτει. Αὕτη ἡ νοῦσος [9]διαπαύουσα τῆς προτέρης πλείονα χρόνον ἐπιλαμβάνει καὶ χρονιωτέρη ἀπαλλάσσεται. Μελετῆν δὲ χρὴ ταύτην ἐν τοῖσιν αὐτοῖσιν, οἵοισι καὶ τὸν ὑδεριῶντα, ἤγουν πυρίῃσι καὶ φαρμάκοισι καὶ ἐδέσμασι καὶ ταλαιπωρίῃσιν. Αὕτη ἡ νοῦσος [10]ἐπικρατέει μάλιστα ἓξ ἔτεα, εἶτα ἐξέρχεται μελετωμένη καλῶς ἐν χρόνῳ, ἤν γε καὶ μὴ καταρχὰς ἰηθῇ. Αὕτη ἡ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης πολλῆς.

51. [11]Περὶ ἰσχιάδος· ἰσχιὰς δὲ ἀπὸ τῶνδε τῶν ἀφορμῶν γίνεται μάλιστα τοῖσι πολλοῖσιν, ἢν [12]εἰληθῇ ἐν τῷ ἡλίῳ πουλὺν χρόνον καὶ τὰ ἰσχία διαθερμανθῇ καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ [13]ὑπὸ τοῦ καύματος τὸ ἐνεὸν ἐν τοῖσιν ἄρθροισιν. Ὡς δὲ ἀναξηραίνεται [14]καὶ πήγνυται, τόδε μοι τεκμήριον· ὁ γὰρ νοσέων στρέφεσθαι [15]ἢ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἐν αὐτοῖσιν ἀλγηδόνος καὶ τοῦ ξυμπεπηγέναι τοὺς [16]σπονδύλους· ἀλγέει δὲ μάλιστα τὴν ὀσφῦν καὶ τοὺς [17]σπονδύλους τοὺς ἐκ πλαγίων τῶν ἰσχίων καὶ τὰ γούνατα· ἵσταται δὲ ἡ ὀδύνη ἐν τοῖσι

[1] Ἄλλη ὁμοίη I. – ὁμοῖον pro παχὺ FGJ. – [μὲν] τὸ Lind. – ἀπὸ E. — [2] σ. EHIJK. — [3] πολ. EHIJK. – πυρετοὶ κατ. τὸ σ. EHK. – νόσ. EH. – γίνεσθαι (γινόμενον E, H al. manu γίνεσθαι, KP'Q'θ) vulg. — [4] καὶ οἴδημα ἐν αὐτῷ, (ἑαυτῷ pro ἐν αὐτῷ P'Q'; ἐν αὐτῷ om., H restit. al. manu, θ) ἐπιγίνεται pro καὶ οἰ. τὸ πρ. EHKP'Q' (θ, ἐγγίνεται). – εἰς J. — [5] ἐν τῇ κοιλίῃ στῇ (H, al. manu στῇ ἐν αὐτῇ) θ. – μεγάλην EGHIKθ, Ald., Mack. – μεγάλα vulg. — [6] καὶ ἐς τὴν κοιλίην βάρος ἐνῇ καὶ vulg. – καὶ ἐν τῇ κοιλίῃ βάρος ἴσχει καὶ θ, Mack. — [7] καὶ ἐπὴν ὕσῃ ἐπὶ (ἐπὶ om., additum al. manu H) τῆς γῆς EHK. – τῆς om. FI. — [8] καὶ τῆς H. – οὐκ ἀνέχεται ὀδμώμενος EHK. – ἐστηκὼς (sic) I. – ὀδμὴ, al. manu ὀδμηθῇ H. — [9] καὶ διαπ. EHKP'Q'θ, Lind., Mack. – πλείω EK. – μελετᾶν vulg. – μελετῆν EHKθ, Mack. – ταύτην ἐν om. (H, restit. al. manu) θ. – οἷσι pro οἵοισι FGI, Ald. – ἤγουν om., restit. al. manu H. – πυριῆσι J, Ald., Frob., Lind. — [10] μάλ. ἐπικρ. EK. – μάλ. προέχει, al. manu ἐπικρατέει H. – προσίσχει μάλιστα θ. – καλῶς om., restit. al. manu H. – γε καὶ om. EHKθ. – ἡ γὰρ νοῦσος (H, al. manu αὕτη ἡ νοῦσος) θ. – μελε-

50. (*Quelque névropathie.*) Autre maladie épaisse : la maladie provient du phlegme blanc, qui se rassemble dans le ventre quand des fièvres se sont longtemps prolongées. La maladie commence par le visage, qui se tuméfie, puis elle descend dans le ventre ; et, quand elle est là, elle produit un grand gonflement dans l'abdomen. Le corps est courbatu comme à la suite d'une fatigue ; il y a dans le ventre pesanteur et forte souffrance ; les pieds enflent. S'il vient de la pluie sur la terre, le patient ne supporte pas l'odeur de la poussière ; et, si, se trouvant debout par la pluie, il perçoit l'odeur de la terre, il tombe soudainement. Cette maladie a de plus longues intermissions que la précédente et une solution plus tardive. On la traitera par les mêmes moyens que l'hydropisie, bains de vapeur, remède, aliments, exercices. Cette maladie dure en général six ans, puis, bien traitée, elle se dissipe avec le temps, même quand elle n'a pas été traitée tout d'abord. Cette maladie est difficile et demande beaucoup de soins.

51. (*Coxalgie ; cautérisation. Comp. le* § 18.) De la coxalgie : la coxalgie est produite chez la plupart de cette façon : on s'expose au soleil pendant longtemps, les hanches s'échauffent, et l'humide qui est dans les articulations se dessèche par la chaleur. Voici ce qui me prouve qu'il se dessèche et se coagule : le malade ne peut tourner ou mouvoir les articulations, à cause qu'il y éprouve de la douleur et que la colonne vertébrale est devenue rigide. Il souffre surtout aux lombes, aux vertèbres qui sont sur le côté des hanches et aux genoux. Une douleur aiguë et brûlante se fixe longtemps aux aines ainsi qu'aux han-

της δεῖται EHK. – πουλλῆς G, Ald., Frob., Mack. — [11] π. ἰσχ. om. θ. – ἰσχιάδων E. – τῶν ἀφ. om. (H, restit. al. manu) θ. – πουλλοῖσιν G, Ald., Frob. — [12] ἔλθῃ vulg. – εἰληθῇ Coray, Mus. Oxon. Consp., p. 20. – Cette conjecture est bonne ; voy. p. 278, l. 14, εἰληθέντες. – τῷ om. K. – πολὺν IJ. — [13] ἀπὸ (H, al. manu ὑπὸ) Jθ. – ἐνὸν FGIJ, Ald. — [14] καὶ om. FGIJ, Ald., Frob. – τε καὶ Lind. – τόδε δέ (δέ om. EHθ, Mack ; δή Lind.) μοι vulg. — [15] καὶ pro ἤ EH. – ὑπὸ τῆς (additur al. manu ἐν αὐτοῖσιν H) ἀλγηδόνος τῶν ἄρθρων Hθ, Mack. — [16] δακτύλους (supra lineam σπονδύλους K) vulg. – σπονδύλους θ, Mack. – ὀσφὺν Lind., Mack. — [17] In marg. eadem manu γέγρ. καὶ σφονδ. H. – τοὺς ἐκ τοῦ πλαγίου τῶν θ, Mack.

βουβῶσι πλεῖστον χρόνον ἅμα [1]καὶ τοῖσιν ἰσχίοισιν ὀξείη καὶ καυματώδης· κἢν τις αὐτὸν ἀνιστῇ ἢ μετακινέῃ, ὑπὸ τῆς ἀλγηδόνος οἰμώζει ὁκόσον ἂν μέγιστον δύνηται· ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται καὶ ῥῖγος καὶ πυρετός. [2]Γίνεται δὲ τὸ νούσημα ἀπὸ χολῆς· γίνεται δὲ καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ αἵματος, καὶ ὀδύναι παραπλήσιοι ἀπὸ πάντων τούτων τῶν νουσημάτων· καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. Ἀλλὰ χρὴ ὧδε μελετῆν τὸν ἀπὸ τοῦ ἡλίου [3]ταύτην τὴν νοῦσον λαβόντα· ὑγραίνειν αὐτοῦ τὸ σῶμα τῇ πυριήσει καὶ ἀπὸ τῶν σιτίων καὶ [4]ἀπὸ τῶν ποτῶν καὶ [5]τῶν ἄλλων τῶν διδομένων, διδόναι [6]δὲ χλιαρὰ καὶ ὑγρά· ταῦτα δὲ πάντα ἑφθά· [7]σίτῳ δὲ χρεέσθω μάζῃ μαλθακῇ ἀτρίπτῳ· οἶνον δὲ πινέτω λευκὸν ὑδαρέα· καὶ τῷ σώματι ἡσυχίην ἐχέτω· [8]ἢν δὲ καὶ δυνατὸς ᾖ ἀνίστασθαι, ὀλίγα περιπατεέτω ἑκάστης ἡμέρης· καὶ μὴ ῥιγούτω; [9]καὶ λουέσθω μὴ πολλῷ. Καὶ ὁκόταν σοι δοκέῃ καλῶς ἔχειν καὶ ὑγρὸς εἶναι τὸ σῶμα, πυριῆσαι σφόδρα βληχρῇ τῇ [10]πυρίῃ· μᾶλλον γὰρ ἀνήσει καὶ ἀνυγρανεῖ τὸ συμπεπηγὸς ἐκ τῶν ἄρθρων· εἶτα τῇ ὑστεραίῃ πῖσαι τοῦ κνιδίου κόκκου. Ἢν δὲ μὴ ὠφελήσῃ, [11]κλύσαι τούτοισι χρὴ αὐτόν· τρίβειν κυμίνου ἡμικοτύλιον, σικύην ἄτμητον τῶν μικρῶν καὶ στρογγύλων ξυγκόψας ἐν τῷ ὅλμῳ, καὶ σήσας ὡς λεπτότατον νίτρου ἐρυθροῦ Αἰγυπτίου τεταρτημόριον μνᾶς, ὀπτήσας, τρίψας τε λεῖον, ταῦτα [12]ἐμβάλλειν ἐς χυτρίδα, καὶ ἐγχέαι ἐλαίου κοτύλην, μέλιτος ἡμικοτύλιον, οἴνου λευκοῦ [13]γλυκέος κοτύλην, καὶ σευτλίου χυλοῦ [14]δύο κοτύλας· ταῦτα ἑψῆν, ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν τοῦ πάχεος· εἶτα διηθήσας δι' ὀθονίου, παραμῖξαι αὐτοῖσι μέλιτος Ἀττικοῦ

[1] Καὶ ἐν τοῖσιν Mack. – ἀνιστῇ EHQ'θ, Lind., Mack. – ἀναστῇ vulg. – μέγα κινέῃ θ, Mack. – μετακινέει H. – οἰμώσει Ald. — [2] γίνεται δὲ τὸ νούσημα ἀπὸ χολῆς· γίνεται δὲ καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ αἵματος, καὶ ὀδύναι παραπλήσιοι ἀπὸ πάντων τούτων τῶν νουσημάτων θ. – γίνεται δὲ καὶ ἀπὸ χολῆς καὶ (addit ἀπὸ Lind.) φλέγματος· γίνεται (γίνονται J) δὲ καὶ ἀπὸ αἵματος ὀδύνη παραπλήσιος (ὀδύναι παραπλήσιοι EFGH, I ὀδῦναι, JK; ὀδύνη παραπλήσιοι sic Ald.) ὡς ὑπὸ (ὑπὸ om. Lind.) πάντων τῶν νουσημάτων (νοσ. EH) vulg. — [3] νοσέοντα pro ταύτην τ. ν. λ. EHKP'Q'θ. – ταύτην om. I. – τῇσι πυρίῃσι K. — [4] ἀπὸ om. EK. – ἀπὸ τῶν om., τῶν restit. al. manu H. — [5] τῶν om. I. – Ante τῶν addunt ἀπὸ HK. — [6] δὲ EHK. – δὲ om. vulg. — [7] σίτῳ δὲ καὶ (καὶ om., restit. al. manu H) μάζῃ χρεέσθω vulg. – σίτῳ δὲ χρήσθω μάζῃ θ. — [8] ἢν καὶ ἀδύνατος vulg. – ἢν δὲ καὶ ἀδύνατος E (θ, Mack, δυνατός). – πλὴν (πλὴν om. θ) ὀλίγα vulg. – ἑκ. ἡμέρης om. θ. — [9] Post καὶ addit ἑκάστης ἡμέρης θ. – λούσθω EHK. – τῷ σώματι vulg. – τὸ σῶμα θ, Mack. —

ches. Si on lève le malade ou qu'on le remue, il pousse les hauts cris à cause de la douleur. Parfois il survient des spasmes, du frisson, de la fièvre. Cette maladie vient de la bile; elle vient aussi du phlegme et du sang; les douleurs de toutes ces maladies sont analogues; et parfois il se manifeste du frisson et une fièvre sourde. Il faut ainsi traiter celui à qui le soleil a causé une telle affection : on lui humectera le corps et par les étuves, et par les aliments, et par les boissons, et par tout le reste qu'on donnera; tout sera tiède et humide, tout sera bouilli. Pour aliments de céréales, il aura une polenta molle et non pétrie; il boira un vin blanc coupé d'eau; il gardera le repos du corps; s'il est en état de se tenir debout, il marchera un peu chaque jour; il ne prendra pas froid, et se lavera peu abondamment. Quand il vous paraîtra être bien et avoir le corps souple, on lui fera prendre une étuve très-légère; car cela relâchera et humectera mieux les articulations rigides. Puis le lendemain on lui fera boire le grain de Gnide. S'il n'est pas soulagé, on lui prescrira ce lavement : broyez une demi-cotyle de cumin, écrasez dans le mortier une courge non coupée de l'espèce petite et ronde, tamisez très-fin un quart de mine (*mine* = 324gr) de nitre rouge d'Égypte, grillez, pilez fin, jetez le tout dans un pot, et versez une cotyle d'huile, une demi-cotyle de miel, une cotyle de vin blanc doux et deux cotyles d'eau de bettes; faites cuire, jusqu'à ce que la consistance vous paraisse bonne; puis passez à la chausse, ajoutez une cotyle de miel attique, si vous ne voulez pas faire cuire le miel avec le reste; dans le cas où vous n'aurez pas de miel attique, mêlez une cotyle du meilleur miel et faites cuire dans le mortier; si le lavement est trop épais, ajoutez-y du

[10] πυριῇ J, Ald., Frob., Lind. – ἀνυγραίνει vulg. – Lisez ἀνυγρανεῖ. – ξυμπ. Lind. – ὑστερέῃ J. — [11] καῦσαι (E, al. manu κλύσαι) HJKQ', Ald. – τοῖσι δὲ pro τούτοισι H. – Ante χρὴ addunt δὲ EK. – κύμινον K. – Gal. Gl. : σικύην ἄτμητον, κολοκυνθίδα ἀδιαίρετον. – συγκ. EHIK. – συγκόψαι J. – ὅλμω EJ. – τὲ om. EHK. — [12] Ante ἐμϐ. addunt μίξας θ, Mack. – εἰς HIJK. – μέλιτος.... κοτύλην om., restit. al. manu E. — [13] γλυκέος θ, Mack. – γλ. om. vulg. – κοτύλην om. Lind. – καὶ om. (H, restit. al. manu) θ. – σεύτλου θ. – τευτλίου JK, Lind. — [14] δύο (τρεῖς Lind.) κοτύλας θ, Lind., Mack. – δύο κ. om. vulg. – ἑψεῖν EHIJK.

[1] κοτύλην, ἢν μὴ βούλῃ ξυνεψεῖν τὸ μέλι· ἢν δὲ μὴ ἔχῃς Ἀττικὸν, κοτύλην τοῦ καλλίστου παραμίξας [2] ἑψῆσαι ἐν θυείῃ· ἢν δὲ τὸ κλύσμα παχύτερον ᾖ, [3] παραχέαι οἴνου τοῦ αὐτοῦ πρὸς τὸ πάχος τεκμαιρόμενος· ἐν τούτῳ κλύζειν. Εἶτα [4] ἑξῆν χρὴ μέχρι τριῶν ἡμερέων καθαίρεσθαι· ἢν δὲ πλείονας ἡμέρας καθαίρηται, [5] τοῦ βοείου ἢ [6] τοῦ αἰγείου γάλακτος τρεῖς κοτύλας δοῦναι ἐκπιεῖν· εἶτα τεῦτλα λιπαρὰ, περίπαστα, ἐν ἀρτύμασιν ἄναλτα, δοῦναι ἐσθίειν. Ἐκ ταύτης οὖν τῆς νούσου πολλοὶ ἤδη χωλοὶ ἐγένοντο. Ἢν δὲ ἀπὸ χολῆς ἡ νοῦσος γένηται, πῖσαι αὐτὸν ἐλλέβορον κάτω ἢ ὀπὸν σκαμμωνίης· μετὰ δὲ [7] τὴν κάθαρσιν πτισάνης χυλὸν, μέλι παραχέων, δύο τρυβλία δοῦναι ἐκροφέειν· τῇ [8] δὲ ὑστεραίῃ ἢ τῇ τρίτῃ πυριήσας γάλακτι ὀνείῳ ἑφθῷ ὑποκαθῆραι· ἐς ἑσπέρην δὲ [9] τεύτλου λιπαροῦ δύο τρυβλία ἐκφαγέτω ἄλφιτα παραπάσας· οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα, γλυκὺν καὶ νῦν καὶ μετὰ τὴν τοῦ φαρμάκου κάθαρσιν. Ἢν δὲ ἀπὸ φλέγματος [10] νοσέῃ, πῖσαι αὐτὸν τοῦ κνιδίου κόκκου ἢ τοῦ ἱππόφεω πυριήσας, μετὰ δὲ τὴν κάθαρσιν τὰ αὐτὰ χρὴ προσφέρειν καὶ ῥοφήματα καὶ ποτὰ καὶ γαλακτοποσίην· τὰς δὲ μεταξὺ τῶν ἡμερέων διαίτῃ χρεέσθω ὡς κουφοτάτῃ. [11] Καὶ ἢν μὲν ὑπὸ τουτέων ὠφελῆται· ἢν δὲ μὴ, καῦσαι αὐτὸν, τὰ μὲν ὀστώδεα μύκησι, τὰ δὲ σαρκώδεα σιδηρίοισι πολλὰς ἐσχάρας καὶ βαθείας. Ἢν [12] δὲ ὑφ' αἵματος νοσέῃ, πυριῆσαι, καὶ σικύην προσβάλλειν, καὶ φλεβοτομέειν τὰς ἐν τῇσιν ἰγνύῃσι φλέβας· ἢν δέ σοι δοκέῃ, καὶ τοῦ κνιδίου κόκκου πῖσαι αὐτόν· διαίτῃ δὲ χρεέσθω ὡς ξηροτάτῃ· οἶνον δὲ μᾶλλον μὲν [13] μὴ πινέτω· ἢν δὲ ἄρα καὶ πίνειν θέλῃ, ὡς ἐλάχιστον [14] καὶ ὑδαρέστατον δίδου, καὶ περιπατέειν ὀλίγα κέλευε· ἢν [15] δὲ δυνατὸς ᾖ, πλεῖστα. Ξυμφέρει δὲ καὶ τῷ

[1] Κοτύλης FG. – βούλει Ald., Frob. – συν. EHIJK. — [2] δ' ἑψῆσαι H. – θυίῃ EHK. – θύῃ FGIJ, Ald. — [3] παραχέας K. – ἐν om. EHKθ. — [4] ἦν pro ἑξῆν GIJK; ἐὰν H. – ἑξῆν χρὴ om. E. – χρὴ ponitur post καθαίρεσθαι H. – Post καθ. addit ἢν χρὴ E. – ἡμέρας om. Lind. — [5] Ante τοῦ addit ἐν θ. – ἢ τοῦ αἰγ. ἢ τοῦ βοείου E. — [6] τοῦ om. Lind. – σεῦτλα EHIJK. – ἐν ἀρτύμασιν om., restit. al. manu H. – ἄναλτα ponitur post ἐσθίειν EHK. – οὖν om. EHKθ, Mack. – πουλλοὶ Gθ, Ald., Frob. – ἤδη EHKθ. – ἤδη om. vulg. — [7] τὴν τοιαύτην (τοι. om. EHθ) καθ. vulg. – πτισσ. E. – χυλὸν om. EHIJθ. – περιχέων H. – τριβλία J. — [8] δ' EHK. – ὑστερέῃ J. – ἀποκαθῆραι J. — [9] τεῦτλα λιπαρὰ E. – σεύτλων ἑφθῶν λιπαρῶν θ. – σεύτλου Mack. – τριβλία J. – ἐμφαγέτω (ἐκφαγέτω, H al. manu ἐκροφέειν, θ; ἐκροφέειν EKP'Q') vulg. – παραπάσσας GI. – καὶ μετὰ τοῦ φαρμάκου τὴν δόσιν θ. — [10] νοσήσῃ θ. – ἱπποφέως vulg. – ἱπποφέω EFGHIJK, Ald. – ἱππόφεω Lind., Mack. – [πρῶτον] πυριήσας Lind.

même vin, en vous guidant sur la consistance; ainsi préparé, faites prendre le lavement. Puis on permettra que la purgation se prolonge trois jours; si elle dure davantage, on fera boire trois cotyles de lait de vache ou de chèvre; puis il mangera des bettes grasses, saupoudrées, et sans sel. Cette maladie a rendu beaucoup de gens boiteux. Si la maladie vient de la bile, on évacuera par le bas à l'aide de l'hellébore ou du suc de scammonée; après la purgation, le patient prendra deux oxybaphes de décoction d'orge avec addition de miel. Le lendemain ou le surlendemain, ayant pris un bain de vapeur, il sera purgé avec le lait d'ânesse cuit; le soir, il mangera deux oxybaphes de bettes grasses, saupoudrées de farine; il boira, et alors et après l'opération du médicament, un vin blanc, doux, coupé d'eau. Si la maladie provient du phlegme, on fera boire le grain de Gnide ou l'hippophée après une fumigation préalable. La purgation terminée, on prescrira les mêmes choses, potages, boissons, usage du lait. Dans les jours intermédiaires, il suivra le régime le plus léger. Si ces moyens le soulagent, très-bien; sinon, on le cautérisera, sur les parties osseuses avec des champignons, sur les parties charnues avec des ferrements et en produisant des eschares nombreuses et profondes. Si la maladie provient du sang, on prescrira le bain de vapeur, on appliquera une ventouse, et on ouvrira des veines des jarrets; si on le juge convenable, on fera boire le grain de Gnide; le malade suivra le régime le plus sec; il vaudra mieux qu'il ne boive pas de vin; si pourtant il en veut boire, il en boira aussi peu que possible et très-coupé d'eau. On lui prescrira de marcher un peu, et, s'il est en état, beaucoup. Il importe aussi à

-ῥυφ. EGHIJE; Ald. - πόματα K. — [11] χῆν EHK. - ἀπὸ τούτων vulg. - ὑπὸ τουτέων θ. - Post ὠφ. addit ἅλις θ. - μυκῆσι EHIJK, Ald., Frob. — [12] δ' E. - πυριήσας, σικύην θ. - τοῖσιν GJ. - ὑγνύησι G, Ald. - σοι om., restit. al. manu H. — [13] μὴ om. (E, restit. al. manu) FGJ. - δὲ om., restit. al. manu H. - ἄρα I. - πίνη pro πίνειν θέλῃ (H, al. manu πίνειν) θ. - θέλῃ om., restit. al. manu E. - θέλῃς FGJ, Ald. — [14] καὶ om., restit. al. manu H. - ὑδαρέστατον Jθ, Mack. - ὑδαρέστερον vulg. - δίδου om. (H, restit. al. manu) θ. - ὀλίγα om. (H, restit. al. manu) θ. - ὀλίγω J. - κελεύειν (H, al. manu κέλευε) θ. — [15] δὲ om. θ. - ὡς πλεῖστα EHθ. - ποιεῖν H.

ἀπὸ τοῦ φλέγματος νοσέοντι τὰ τοιαῦτα ποιέειν. Ἢν δὲ μὴ δύνηται ἵστασθαι, ἐν τῇ κλίνῃ χρὴ [1] περιφέρειν ὡς πυκνότατα, ἀφ' οὗ [2] ἂν νοσέῃ, καὶ ἅπαντα ὁμοίως, ὅκως ἂν ἐντὸς μὴ ξυμφυῇ ὁ χόνδρος· ἢν δὲ ξυμφυῇ καὶ τὰ ἄρθρα [3] ξυμπαγῇ, πᾶσα ἀνάγκη χωλὸν γενέσθαι τὸν ἄνθρωπον. Καὶ ἢν βούλῃ [4] κλύσαι τὸν ἀπὸ τοῦ αἵματος νοσέοντα, ὥστε αἷμα ἀπάγειν καὶ φλέγμα ἀπὸ τῶν ἰσχίων, [5] τοῖσιδε δεῖ κλύζειν· ἁλὸς δραχμίδα τρίψας, παραμῖξαι ἐλαίου κοτύλην καὶ ἀπὸ κριθέων [6] ἑφθῶν δύο κοτύλας, εἶτα οὕτω κλύζειν τοῦτον. Οὕτω μελετῶν τάχιστα ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπὴ λίην ἐστὶ καὶ χρονίη.

52. [7] Τέτανοι τρεῖς· [8] ἢν μὲν ἐπὶ τρώματι τέτανος γένηται, πάσχει τάδε· αἱ γένυες πήγνυνται, καὶ τὸ στόμα διαίρειν οὐ δύναται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσι καὶ ἕλκονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ [9] δύναται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας, οὐδὲ τὴν ῥάχιν· ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν καὶ τὰ βρώματα, ἃ πρότερον βέβρωκεν, ἀνὰ τὰς ῥῖνας ἀνέρχεται ἐνίοτε. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριῆν δεῖ, καὶ ἀλείψαντα λιπαρῶς πρὸς τὸ πῦρ [10] ἔκαθεν θάλπειν, καὶ χλιάσματα προστιθέναι ὑπαλείψας τὸ σῶμα. Καὶ ἀψίνθιον ἢ φύλλα δάφνης ἢ τοῦ ὑοσκυάμου τὸν καρπὸν τρίψας καὶ λιβανωτὸν, εἶτα οἴνῳ λευκῷ διεὶς [11] ἐγχέαι ἐς χυτρίδα καινήν· εἶτα [12] ἐπιχέαι ἔλαιον ἴσον τῷ οἴνῳ, καὶ θερμήνας ἀλεῖψαι πολλῷ θερμῷ τὸ σῶμα καὶ τὴν κεφαλήν· [13] ἔπειτα κατακλίνας ἐμβάπτειν τὴν σάρκα ποιῆσαι, [14] καὶ ἀμφιέσαι ἱμάτια μαλθακὰ καθαρὰ, ὅκως ἂν ἐξιδρώσῃ σφόδρα· μελί-

[1] Περιστρέφειν θ, Mack. – πυκνότατα EGHIJK, Ald., Frob. — [2] ἢν EH. – καθ' ἅπαντα pro καὶ ἅπαντα K'. – ὁ χόνδρος· ἢν δὲ ξ. om., restit. al. manu H. — [3] σ. IJ. – Post χωλὸν addit ἐστι H. — [4] καῦσαι (E, al. manu κλύσαι) FGHIJKQ', Ald. — [5] τοῖσι δὲ EHIJK, Frob., Lind. – τοῖσιδε Mack. – χρὴ pro δεῖ EHK. – δραγμίδα IK. — [6] ὀπτῶν θ. – οὕτω om. EHK. – τοῦτον om. θ. – ὑγιαίχ (sic) Ald. – ἡ δὲ νοῦσος χρονίη pro ἡ δὲ.... χρονίη θ. – λίην ἐστὶ om., restit. al. manu H. — [7] περὶ τετάνων οἵτινές εἰσι τρεῖς FG. – περὶ τετάνου K. — [8] ἂν E. – τέτανος om. (H, restit. al. manu) θ. – γέννυες G, Ald., Frob. – δύνανται HP'. — [9] δύνανται H. – συγκ. EHK. – ἐδέβρωκεν GIK, Ald., Frob., Lind. – ἐβεβρώκει θ, Mack. – δεῖ om., restit. al. manu H. — [10] ἔκαθε FJ. – ὑοσκιάμου J. — [11] ἐγχέαι E. – ἐς EH. – εἰς vulg. — [12] ἐπιχέας E. – ἀλεῖψαι τὸ σῶμα θερμῷ καὶ τὴν κεφαλὴν θ. – ἄλειψαι E. – θερμῷ πολλῷ HK. — [13] ἔπειτα κατακλίνας ἐμβάτῃ (ἐμβάντη H) ἄνω τὴν σάρκα ποιήσαντα vulg. – ἔπειτα κατακλίνας ἐμβάτην (ἐμβάτῃ Mack) ἄνω τὴν ῥάχιν ποιήσαντα Lind. – La conjecture de ῥάχιν au lieu de σάρκα est de Mercurialis. – ἔπειτα κατακλίνας ἐμβάτην ἀνὰ τὴν σάρκα ποιήσαντα legendum censet Foes in not. – εἶτα

celui qui est malade par le phlegme d'en faire autant. S'il n'est pas en état de se tenir debout, on le promènera très-souvent dans son lit, d'où que vienne la maladie, et on fera tout semblablement afin que le cartilage ne contracte pas des adhérences à l'intérieur; s'il en contracte et que les articulations s'ankylosent, de toute nécessité le malade sera boiteux. Si vous voulez clystériser celui qui est malade par le sang, de manière à retirer des hanches le sang et le phlegme, vous prescrirez ce lavement-ci : pilez une poignée de sel, mêlez-y une cotyle d'huile et deux cotyles d'orge bouillie, et prescrivez en lavement. En traitant ainsi, vous procurerez très-vite la guérison; la maladie est très-difficile et longue.

Ceux qui deviennent chauves sont pituiteux ; dans leur tête, au moment du coït, le phlegme agité et échauffé se porte à l'épiderme et brûle les racines des cheveux, qui tombent. Mais les eunuques ne deviennent pas chauves (Aph., VI, 28) parce qu'ils n'éprouvent point de mouvement violent ; chez eux, le phlegme ne s'échauffe pas dans le coït et ne brûle pas les racines des cheveux. Les cheveux blanchissent parce que, l'humide ayant longtemps pénétré le corps, la partie la plus blanche se sépare et se porte à l'épiderme ; le cheveu, attirant une humidité plus blanche qu'auparavant, blanchit à son tour ; et l'épiderme, là où il y a des poils blancs, est plus blanc qu'ailleurs ; et chez ceux même qui de naissance ont quelque endroit blanc en la tête, l'épiderme est plus blanc là où les cheveux sont décolorés ; car c'est en cet endroit que l'humide est le plus blanc. En un mot, telle est l'humeur que les chairs attirent, blanche, rouge ou noire, telle aussi est la couleur des cheveux. Voilà ce que j'avais à dire là-dessus. Je reviens au point où j'avais laissé mon discours.

21. (*Quand l'enfant commence à se remuer. Différence entre le garçon et la fille. Formation du lait. Comparaison avec un cuir imbibé d'huile.*) Quand les extrémités du corps de l'enfant se sont ramifiées extérieurement et que les ongles et les cheveux se sont enracinés, alors l'enfant commence à se mouvoir; le temps pour cela est trois mois chez un garçon, quatre chez une fille ; c'est là la règle générale ; mais il y a des enfants qui se meuvent avant ce terme. Le garçon se remue le premier parce qu'il est plus fort que la fille ; et il se coagule le premier parce qu'il provient d'une semence plus forte et plus épaisse. Quand l'enfant s'est remué, alors aussi le lait donne signe chez la mère ; les mamelles et les mamelons entrent en orgasme ;

τέου (H, al. manu) π. – τούτου vulg. — [12] γίνεται C. – πρόσθεν Cξ, Zwing. in marg. – πρῶτον vulg. – Post ἄρσεν addit τοῦ θήλεος Zwing. in marg. — [13] πρόσθεν C (H, al. manu). – πρῶτον vulg. – Post γίνεται addit τὸ ἄρσεν τοῦ θήλεος Cξ. – καὶ τὸ γάλα ponitur post δὴ Cξ. – ἀείρονται al. manu in marg. H. – αἴρονται vulg.

οἱ γὰρ μαζοὶ ἀείρονται, καὶ αἱ θηλαὶ [1]ὀργῶσι· τὸ δὲ γάλα οὐ χωρέει· καὶ τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν ὕστερον τὸ γάλα ἐπισημαίνει καὶ [2]ἔρχεται, τῇσι δὲ ἀραιοσάρκοισι πρόσθεν. [3]Δι' ἀνάγκην δὲ τοιήνδε γίνεται τὸ γάλα· ὁκόταν αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου πιέζωσι τὴν κοιλίην τῆς γυναικὸς, τῆς [4]δὲ κοιλίης πλήρεος ἐούσης ὁ ἐκπιεσμὸς γένηται, ἀποπιδύει τὸ πιότατον ἀπό [5]γε τῶν βρωτῶν καὶ τῶν ποτῶν ἔξω ἐς τὸ ἐπίπλοον καὶ τὴν σάρκα· ὥσπερ δέρμα εἴ τις ἀλείψειεν ἐλαίῳ πολλῷ καὶ ἐῴη ἀναπιεῖν, καὶ, [6]ἐπὴν ἀναπίῃ, πιέζῃ τὸ δέρμα, διαπιδύοι ἂν πιεζευμένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον· οὕτω δὴ καὶ τῆς κοιλίης τὸ πιαρὸν ἐν αὐτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ [7]τῶν ποτῶν, πιεζευμένης ὑπὸ τῶν μητρέων, διαπιδύει [8]τὸ πῖαρ ἐς τὸ ἐπίπλοον καὶ [9]ἐς τὴν σάρκα. Κἢν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνεται τῆς διαπιδύσιος· [10]ἢν δὲ μὴ, ὕστερον. Καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἢν μή τι νοσέῃ, ὑπὸ τοῦ αὐτέου ποτοῦ [11]καὶ σίτου πιότερα γίνεται διὰ τοῦτο· ὁμοίως δὲ καὶ ἡ γυνή. [12]Ἀπὸ τοῦ πίονος διαθερμαινομένου [13]καὶ λευκοῦ ἐόντος τὸ γλυκαινόμενον ἀπὸ τῆς θέρμης τῆς ἀπὸ τῶν μητρέων ἀποθλιβόμενον ἔρχεται ἐς τοὺς μαζούς· καὶ ἐς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται διὰ τῶν αὐτέων φλεβῶν· τείνουσι [14]γὰρ ἐς τοὺς μαζοὺς καὶ ἐς τὰς μήτρας φλέβια ταῦτά τε καὶ παραπλήσια ἄλλα. Καὶ ὁκόταν ἀφίκηται [15]ἐς τὰς μήτρας, ἰδέην ἴσχει τοῦ γάλακτος, [16]καὶ τὸ παιδίον ἀπ' αὐτοῦ ἐπαυρίσκεται ὀλίγον, οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα ἀείρονται πιμπλάμενοι· καὶ ὁκόταν τέκῃ, ἀρχῆς κινήσιος ὑπογενομένης, χωρέει

[1] Ἀραιαὶ γίνονται (E, sup. lin. al. manu ὀργῶσι) (H, al. manu) KOXP'π. — [2] ἐξέρχεται E (H, al. manu ἐξ) KOP'Q'. — [3] διαναγκάζειν Clξ. – κοιλίαν, al. manu η E. — [4] δ' ὁκόταν vulg. – ὁκόταν ne peut guère être conservé; je pense qu'il faut lire en place δὲ κοιλίης. – ἐκπιεσμὸς E (H, ἐκ al. manu) KP'π. – πιεσμὸς vulg. – γίνεται J. – ἀποπηδᾷ vulg. – ἀποπιδᾷ C. – Schneider, dans son Dict., au mot διαπηδάω, remarque que ce verbe et διαπηδύω sont continuellement confondus par les copistes; il recommande de prendre le dernier quand il s'agit d'écoulement de liquide; et il conseille cette leçon, en place de διαπηδᾷ, dans Hipp. des Hum., § 11, t. VI, p. 492; ce que j'aurais dû faire; car la variante de A διαπεῖ εἰ δὲ y conduit. Ici j'ai remis partout le verbe πιδύω. – ποιότατον Ald. — [5] τε vulg. – Je lis γε. – τροφῶν pro βρ. FGJLO. – ἀναπίειν C. – ἀναπίνειν ξ. — [6] ἐπεῖν (sic) C. – πιέζοι HIJKξ. – πιεζέοι CO. – διαπηδοίη C. – διαποδοίη C. – διαπηδοίοι HJ. — [7] τῶν om. O. – διαπηδᾷ vulg. — [8] τὸ om. Eπ. – πιαρὸν O. – ἐς C, Lind. – εἰς vulg. — [9] ἐς om. C. – κἢν CHKOξπ. – κἂν vulg. – εἴη C. – διαπηδήσιος vulg. – διαπηδήσεως C. — [10] εἰ C. – νοσέει Frob., Zwing., Lind., Mack. – αὐτέου al. manu H. – αὐ-

mais le lait ne coule pas. Chez les femmes à chair dense, le lait donne signe et coule plus tard; chez les femmes à chair lâche, plus tôt. Voici la condition nécessaire qui produit le lait : Quand les matrices, gonflées par l'enfant, pressent le ventre de la femme, et que cette pression s'exerce sur le ventre alors qu'il est plein, la partie la plus grasse des aliments et des boissons s'épanche dans l'épiploon et dans la chair. Ainsi prenez une peau, oignez-la avec beaucoup d'huile et laissez-la s'imbiber; l'imbibition faite, comprimez-la, et, sous cette compression, l'huile s'échappera de la peau. Il en est de même du ventre, qui contient la partie grasse provenant des aliments et des boissons; comprimé par les matrices, il laisse la graisse s'épancher dans l'épiploon et la chair. Si la femme est de chair lâche, elle ressent plus tôt l'effet de cette transsudation; sinon, plus tard. Et les bêtes deviennent, à moins de quelques maladies, plus grasses par les mêmes aliments et boissons, quand elles sont pleines. Il en est de même de la femme. Le gras s'échauffe et blanchit, et la partie qui en a été dulcifiée par la chaleur provenant des matrices, se rend dans les mamelles par l'action de la pression; il en va un peu aussi dans les matrices par les mêmes veines; en effet, les mêmes veines et d'autres veines analogues se rendent aux mamelles et aux matrices. Quand ce liquide arrive aux matrices, il a une apparence de lait, et l'enfant en tire quelque profit; mais les mamelles recevant le lait s'emplissent et se gonflent. Au moment

τοῦ vulg. — [11] καὶ om. J. – ἢ pro καὶ CE (H, al. manu) KOξπ. – πιώτερα HO. — [12] ἀπὸ γὰρ vulg. – γὰρ om. CEFGHIJKOξ, Ald. – τοῦ om. C. — [13] καὶ om. J. – τὸ om. CEFGHIJKO, Ald. – λευκαινόμενον pro γλ. (E, cum τε post λευκ., et γλυκαινόμενον supra lin. al. manu) XP'Q'. – γλευκενόμενον π. – Post γλ. addunt τε (H, al. manu) K. – θερμῆς Frob. – ἐς (bis) CH, Lind. – εἰς (bis) vulg. – αὐτῶν Cξ. — [14] γὰρ om. X. – ἐς (bis) CHπ, Lind. – εἰς (bis) vulg. – φλεβία ξπ. – ταὐτά τε CH, Mack. – καὶ om. FG (H, restit. al. manu) J. — [15] ἐς CHπ, Lind. – εἰς vulg. – ἰδέην ἴσχει om. C (E, restit. al. manu) FGHIJ KOXξπ, Ald. – Post γάλ. addit καὶ ἀείρονται Lind. — [16] καὶ om. CEFGHIJ KOξπ, Ald. – τὸ δὲ pro καὶ τὸ Lind. – ἐπ' αὐτοῦ Ald. – ἀπαυρίσκεται FG (H, al. manu ἐπ) JK. – ἐπαυρίσκεται ἀπ' αὐτοῦ EXπ. – ἀείρονται E (H, al. manu in marg.) XP'π. – αἴρονται vulg. – κινήσηος C.

τὸ γάλα ἐς τοὺς μαζοὺς τούτους, ἢν θηλάζῃ. Ἔχει γὰρ οὕτω· [1] θηλαζομένοιν τοῖν μαζοῖν εὐροώτερα γίνεται τὰ φλέβια ἐς τοὺς μαζούς· [2] εὐροώτερα δὲ γενόμενα, ἀπὸ τῆς κοιλίης ἕλκοντα τὸ πιαρὸν, τοῖν μαζοῖν διαδιδόασι. Καὶ γὰρ [3] καὶ ὁ ἀνὴρ ἢν λαγνεύῃ πολλὰ, εὐροώτερα γινόμενα τὰ φλέβια μᾶλλον ἐπάγει τὴν λαγνείην.

22. Ἔχει δὲ καὶ τόδε ὧδε· ἡ τροφὴ καὶ ἡ αὔξησις τῶν παιδίων γίνεται, [4] ὅκως ἂν τῇσι μήτρῃσιν ἔῃ τὰ ἀπὸ τῆς μητρός· καὶ ὅκως ἂν ἡ μήτηρ ἔχῃ ὑγιείης [5] ἢ ἀσθενείης, ὧδε καὶ τὸ παιδίον ἔχει. Ὥσπερ καὶ τὰ ἐν τῇ γῇ φυόμενα τρέφεται ἀπὸ τῆς γῆς, καὶ ὅκως ἂν ἡ γῆ [6] ἔχῃ, οὕτω καὶ τὰ φυόμενα ἔχει ἐν τῇ γῇ· τό τε γὰρ σπέρμα ὁκόταν καταβληθῇ [7] ἐς τὴν γῆν, ἰκμάδος πίμπλαται ἀπ' αὐτῆς· ἔχει γὰρ ἐν [8] αὐτῇ ἡ γῆ ἰκμάδα παντοίην, ὥστε τρέφειν τὰ φυόμενα· ἰκμάδος δὲ πλησθὲν τὸ σπέρμα φυσᾶται καὶ οἰδέει· καὶ ἀναγκάζεται ὑπὸ τῆς ἰκμάδος συστρέφεσθαι ἡ δύναμις, ἥ ἐστι κουφοτάτη ἐν τῷ σπέρματι. Συστραφεῖσα δὲ ἡ δύναμις ὑπὸ τοῦ πνεύματος καὶ τῆς ἰκμάδος, [9] φύλλα γενομένη ῥήγνυσι τὸ σπέρμα· καὶ ἀνατέλλει ἔξω πρῶτον τὰ φύλλα. Ἀνατείλαντα δὲ [10] ὁκόταν μηκέτι δύνηται τρέφεσθαι τὰ φύλλα ὑπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ σπέρματι ἐνεούσης, [11] ῥήγνυται ἐς τὸ κάτω τό τε σπέρμα καὶ τὰ φύλλα, καὶ βιώμενον ὑπὸ τῶν φύλλων μεθίησι τῆς δυνάμιος ἐς [12] τὸ κάτω, ἣ ἐν αὐτῷ ὑπολείπεται διὰ τὴν βαρύτητα· καὶ γίνονται [13] αἱ ῥίζαι ἐκ τῶν φύλλων διατεταμέναι. Ὁκόταν δὲ κάτω βεβαίως ῥιζωθῇ τὸ φυὲν, καὶ τὴν τροφὴν ἀπὸ τῆς γῆς ποιέηται, [14] τότε ἤδη ἠφάνισται πᾶν καὶ ἀνήλωται ἐς τὸ φυὲν, πλὴν τοῦ λεπυρίου, ὅτι στερεώτατόν ἐστιν, αὖθις δὲ τὸ λεπύ-

[1] Θηλαζομένων τῶν μαζῶν EOXP'π. – θηλαζομένω τῶ μαζῶ H. — [2] καὶ pro εὐρ. δὲ γ. X. – γινόμενα EHO. — [3] καὶ ὁ om. Cξ. – γίνεται pro γινόμενα Cξ, Zwing. in marg. – φλεβία C. – καὶ μᾶλλον Cξ, Zwing. in marg. – λαγνείαν π. — [4] ὁκόταν ἐν τῇσι μήτρῃσιν ἴῃ (εἴη C, Zwing.) vulg. – Il faut lire, je pense, ὅκως ἂν τῇσι. – καὶ om. Θ. – ἔχοι J. – ὑγίης C. — [5] καὶ pro ἢ C. – ὧδε om. FG (H, restit. al. manu) IJ. — [6] ἔχοι J. – Post ἔχει addit καὶ τὰ C. — [7] ἐς CHξπ, Lind. – εἰς vulg. – ἰκμάδος τινὸς vulg. – τινὸς om. Cξ. – πίμπλαται CEFGHIJ KOξ, Ald. – ἐμπίμπλαται vulg. – ἀπὸ τῆς γῆς pro ἀπ' αὐτῆς Cξ. — [8] αὐτῇ EH, Mack. – οἰδέοι Ald. – οἰδαίει K. – ἡ pro ἥ π. — [9] φῦλλα C. – γενομένη Cξ. – γενομένης vulg. – La leçon de C est la bonne; ἰκμάδος doit être le régime de ὑπό. – ἔξω πρῶτον Cξ. – πρῶτον ἔξω vulg. — [10] ὅταν Θ. — [11] Post ῥ. addit τε (τε om. EHKπ) vulg. – τὰ κάτω E (H, al. manu) K. – δυνάμιος C. — [12] τὰ E (H, al. manu) KOπ. — [13] αἱ E (H, al. manu) KP'Q', Lind., Mack. – αἱ om. vulg. – διατεταμμέναι FH. — [14] τότ' C. – Post πᾶν addunt τὸ

de l'accouchement, le premier ébranlement ayant été donné, le lait se rend aux mamelles, si la femme nourrit. Voici ce qui se passe : les mamelles étant tetées, les veines qui s'y rendent deviennent plus larges; devenues plus larges, elles tirent du ventre la partie grasse qu'elles transmettent aux mamelles. Chez l'homme aussi qui se livre beaucoup au coït, les veines, s'étant élargies, attirent davantage la semence.

22. (*L'enfant se développe en raison des matériaux qui lui sont transmis par la mère. Excellente comparaison avec le végétal et la terre. Théorie du développement du végétal par graine.*) De plus les choses procèdent ainsi : la nutrition et l'accroissement des enfants s'opèrent selon qu'arrivent aux matrices les substances de la mère. L'enfant, suivant que la mère se porte bien ou mal, est dans un état correspondant. C'est ainsi que les productions végétales se nourrissent de la terre, et sont dans la terre en un état correspondant à celui de la terre. En effet, la graine, jetée dans le sol, se remplit de l'humeur qu'il contient; car le sol contient en soi une humeur de toute nature, de manière à nourrir les végétaux. Remplie d'humeur, la graine se souffle et se gonfle. L'humeur force à se condenser la qualité (δύναμις, *comp. pour un emploi semblable de ce mot*, De l'Anc. Méd., § 24) qui est la plus légère dans la graine. Ainsi condensée par le souffle et par l'humeur, la qualité devient feuille et rompt la graine. Ce sont les feuilles qui lèvent les premières. Il arrive un moment où les feuilles qui ont levé ne peuvent plus se nourrir par l'humeur qui est dans la graine; alors la graine et les feuilles font éruption par la partie inférieure; forcée par les feuilles, la graine envoie en bas la partie de la qualité qui est restée dans la graine à cause de sa pesanteur; et c'est ainsi que se produisent les racines par l'extension des feuilles. Quand le végétal est solidement enraciné par le bas, et qu'il s'alimente de la terre, alors toute la graine a disparu et s'est consumée dans le végétal, sauf

σπέρμα E (H, al. manu) KOP'Q'π, Lind., Mack. – ἀνάλωται FG, Ald. – αὔ-τις Cξ. – Post αὖ. addunt ἅπαν E (H, al. manu) KOP'π.

ριον σαπὲν ἐν τῇ γῇ ἄδηλον γίνεται· χρόνῳ [1]δὴ καὶ ὀζοῦταί τινα τῶν φύλλων. Ἐκ σπέρματος γοῦν ἅτε ἀφ' ὑγροῦ γενόμενον, ἕως μὲν ἁπαλὸν ἔῃ καὶ ὑδαρὲς, [2]ἐς αὔξησιν ὡρμημένον καὶ ἐς τὸ κάτω καὶ ἐς τὸ ἄνω, οὐ δύναται τὸν καρπὸν ἐκβάλλειν· οὐ γάρ ἐστιν αὐτῷ δύναμις ἰσχυρὴ καὶ πιαρὰ, ἐξ ἧς τὸ σπέρμα συστραφήσεται. Ὁκόταν δὲ στερεωθῇ [3]μᾶλλον καὶ ῥιζωθῇ τὸ ἐκπεφυκὸς ὑπὸ χρόνου, τότε ἤδη καὶ φλέβας ἴσχει εὐρείας καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω· καὶ τότε δὴ ἐκ τῆς γῆς ἕλκεται οὐκ ἔτι ὑδαρὲς, ἀλλὰ παχύτερον καὶ πιότερον καὶ [4]πλεῖον· τὸ δὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου ἐκζέει ἐς τὰ ἄκρα, καὶ γίνεται καρπὸς κατὰ τὸ ξυγγενὲς ἐξ ὁκοίου καὶ ἐγένετο. Καὶ πολὺς ἐξ ὀλίγου διὰ τόδε γίνεται, ὅτι ἕλκει ἕκαστον τῶν φυομένων ἐκ τῆς γῆς δύναμιν πλείονα ἢ ἐξ οὗ ἐγένετο, καὶ [5]ἐκζέει οὐ κατὰ ἓν, ἀλλὰ κατὰ πολλά· ὁκόταν δὲ ὁ καρπὸς ἐκζέσῃ, τρέφεται ὑπὸ τοῦ φυομένου· ἕλκον γὰρ τὸ φυόμενον ἀπὸ τῆς γῆς τῷ καρπῷ ἐκδίδωσιν· ὁ δὲ ἥλιος [6]πέσσει καὶ στερεοῖ τὸν καρπὸν, τὸ ὑδαρέστερον πρὸς ἑωυτὸν ἕλκων ἀπ' αὐτοῦ. Καὶ ταῦτα μὲν εἴρηταί μοι περὶ τῶν ἐκ σπέρματος φυομένων ἀπὸ τῆς γῆς καὶ [7]τοῦ ὕδατος.

23. Τὰ δὲ ἐκ φυτευτηρίων, ἀπὸ δενδρέων δένδρεα γίνεται τρόπῳ τοιῷδε· τρῶμα ἴσχει ὁ κλάδος ἐν τῷ κάτω τῷ πρὸς τὴν γῆν, ᾗ ἀπὸ τοῦ δένδρου ἐκλάσθη, ὅθεν αἱ ῥίζαι ἀφίενται. Τρόπῳ [8]δὲ τοιούτῳ μεθίενται· ὁκόταν τὸ φυτὸν [9]τὸ ἐν τῇ γῇ ἐνεὸν ἰκμάδα λάβῃ ἀπὸ τῆς γῆς, οἰδέει καὶ πνεῦμα ἴσχει, τὸ δὲ ὑπὲρ τῆς γῆς οὐδέπω· τὸ δὲ πνεῦμα καὶ ἡ ἰκμὰς συστρέψασα ἐν τῷ κάτω τοῦ φυτοῦ τὴν δύναμιν, ὅση ἦν βαρυτάτη, ἔῤῥηξεν [10]ἐς τὸ κάτω, καὶ γίνονται ἐξ αὐτοῦ ῥίζαι ἁπαλαί. Ὁκόταν δὲ ἐς τὸ κάτω λάβηται, τότε δὴ ἕλκει ἐκ τῆς ῥίζης ἰκμάδα καὶ διαδίδωσι τῷ ὑπὲρ [11]τῆς γῆς ἐόντι· καὶ [12]τότε αὖθις τὸ

[1] Δὲ EP'Q'π, Lind. – Ante τινα addunt ἐς E (H, al. manu). – φύλων C. – οὖν Cξ. – ἐφ' J. – Post γεν. addit ἅπαν Q'. – ἕως E (H, al. manu) KLOP'π. – τέως vulg. – ὂν pro ἔῃ Zwing. in marg. — [2] Ante ἐς addunt καὶ C, Zwing. in marg. – ἐς Hξπ, Lind. – εἰς vulg. – πιαρὰ FG. – πιειρὰ Frob. – πίειρα vulg. – πιηρὰ H. – πίηρα Eπ. — [3] μᾶλλον om., restit. al. manu H. – ἐκπεφυκὸς Cξ. – πεφυκὸς vulg. – τότ' Cξ. – πιώτερον CO, Frob., Zwing., Lind., Mack. — [4] πλειόνως Cξ. – τὸ δὴ om. CE (H, erasum alia manu) KP'ξπ. – ἐκζέει CE (H, al. manu) KOP'Q'ξ, Lind., Mack. – ἐκζῇ vulg. — [5] ἐκζέει E (H, al. manu) KP'Q', Lind., Mack. – ἐκζῇ vulg. — [6] πάσσει J. – στερεεῖ E. — [7] τοῦ om. C. – δ' ἐκ ξ. – φυτευτυρίων Ald. – φυτευρηρίων (sic) C. – τραῦμα (H, al. manu, erat prius τρῶμα) O. – ἐν τῷ κατωτάτω πρὸς vulg. – ἐν τῶ κάτω πρὸς τῶ E (H, al. manu) KO. — [8] δὲ om. C (H, restit. al. manu). – τοιῶδε Cξ. — [9] τὸ

l'écorce, qui est la partie la plus compacte; et, à son tour, l'écorce, putréfiée en terre, devient invisible. A la fin quelques-unes des feuilles se ramifient. Le végétal, né ainsi d'une graine, c'est-à-dire de quelque chose d'humide, tant qu'il est tendre et aqueux, se précipitant en croissance tant par le haut que par le bas, ne peut produire du fruit; car il n'a pas en soi une qualité forte et grasse, capable de se condenser en graine. Mais, quand, avec le temps, il a pris plus de consistance et qu'il s'est enraciné, alors il a des veines larges et pour le haut et pour le bas; et ce qu'il pompe de la terre, cessant d'être aqueux, est plus épais, plus gras, plus abondant. Cela échauffé par le soleil fait ébullition aux extrémités et devient fruit suivant l'affinité de ce dont il est produit. Le fruit, de petit, devient gros parce que chaque végétal attire de la terre une qualité plus abondante que ce qui lui a donné naissance. Et l'ébullition se fait non par un seul point, mais par plusieurs. Ayant fait ébullition, le fruit est alimenté par le végétal; en effet, le végétal, attirant hors de la terre, donne au fruit; et le soleil cuit et solidifie le fruit, attirant à soi la partie du fruit la plus aqueuse. Voilà ce que j'avais à dire sur les végétaux venus de graine par la terre et par l'eau.

23. (*Théorie du développement des végétaux par marcotte. Différence de ces deux modes de développement.*) Quant aux végétaux venus de rejetons, les arbres enfantent des arbres de cette façon : la branche a une plaie à la partie inférieure, à celle qui est en terre, à l'endroit où elle a été détachée de l'arbre, et c'est par là que les racines sont émises. Voici comment elles le sont : quand le végétal placé en terre prend de l'humeur dans le sol, il se gonfle et a du souffle; mais ce qui est au-dessus du sol n'en a pas encore. Le souffle et l'humeur, ayant condensé à la partie inférieure du végétal la qualité qui était la plus pesante, font éruption par le bas, et il en naît des racines tendres. Alors le végétal, prenant en bas, tire de

om. EHKO. – ἐὸν COξ. — [10] ἐς CHξπ, Lind. – εἰς vulg. – δὴ post ἕλκει Cξ. — [11] τῆς C. – τῆς om. vulg. — [12] τότε δὴ vulg. – δὴ om. Cξ. – αὖτις ξ. – φῦλλα ξ.

ἄνω οἰδέει καὶ πνεῦμα ἴσχει· καὶ ὅση δύναμις ἐν τῷ φυτῷ κούφη ἔνεστι, ξυστραφεῖσα, φύλλα [1]γινομένη, βλαστάνει, καὶ ἐς τὸ ἄνω ἤδη τὴν αὔξησιν ποιέεται καὶ ἐς τὸ κάτω. Οὕτως [2]ἐς τὸ ἐναντίον ξυμβαίνει ἤδη τῶν ἐκ τοῦ σπέρματος γινομένων καὶ τῶν ἐκ τοῦ φυτευτηρίου περὶ τοῦ βλαστοῦ· πρότερον γὰρ ἐκ τοῦ σπέρματος τὸ φύλλον ἀνατέλλει, ἔπειτα αἱ ῥίζαι [3]ἐς τὸ κάτω ἀφίενται· τὸ δὲ δένδρον ῥιζοῦται πρῶτον, ἔπειτα φυλλοῦται· διὰ τόδε, [4]ὅτι ἐν μὲν τῷ σπέρματι αὐτῷ ἰκμάδος πλῆθος ἔνεστι, καὶ ἐν τῇ γῇ παντὶ ἐόντι τροφὴ ἔνεστι τὸ πρῶτον τῷ φύλλῳ ἀρκέουσα, ὅθεν τὸ φύλλον θρέψεται μέχρις [5]ἂν ῥιζωθῇ· ἐν δὲ τῷ κλάδῳ οὐ γίνεται, οὐ γὰρ γίνεται ἐξ ἑτέρου [6]ὅθεν τὸ φύλλον τὸ πρῶτον τροφὴν ἕξει, ἀλλ' αὐτὸς ὁ κλάδος ἐστὶν [7]ὥσπερ καὶ τὸ δένδρον ἔχει, καὶ τοῦτο ὑπὲρ γῆς ἐστι πολὺ, ὥστε οὐκ ἂν δύναιτο ὑπὲρ [8]γῆς ἰκμάδος πλησθῆναι, εἰ μὴ ἐκ τοῦ κάτω μεγάλη τις δύναμις ἐλθοῦσα [9]τῷ ἄνω ἐκδώσει τῆς ἰκμάδος. Καὶ πρῶτον τὸ φυτευτήριον ἀνάγκη ἐστὶν ἑωυτῷ τροφὴν ποιήσασθαι ἀπὸ τῆς γῆς τῇσι ῥίζῃσιν, ἔπειτα οὕτως [10]ἀπὸ τῆς γῆς ἕλκον ἄνω ἀποδιδόναι, καὶ φύλλα ὁρμῆσαι εἰς βλαστόν τε καὶ αὔξησιν.

24. Ὅταν δὲ αὔξηται τὸ φυτὸν, ὀζοῦται ὑπ' ἀνάγκης τοιῆσδε, ἣν ἐρέω· ὁκόταν ἰκμάδας αὐτῷ πλεῖον [11]προσγένηται ἐκ τῆς γῆς ἑλκομένης, ὑπὸ τοῦ πλήθεος ῥήγνυσιν ᾗ ἂν πλείστη ἔῃ, καὶ ταύτῃ ὀζοῦται τὸ φυτόν. Αὔξεται δὲ καὶ ἐς τὸ εὖρος καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω διὰ τάδε, ὅτι τὸ κάτω τῆς γῆς τοῦ μὲν χειμῶνος θερμόν ἐστι, τοῦ δὲ θέρεος ψυχρόν. Τοῦτο δὲ διὰ τόδε ἐστὶν, ὅτι ἡ γῆ ἰκμαλέη ἐστὶν [12]ἐν χειμῶνι ὑπὸ τοῦ ὕδατος τοῦ ἐκ τοῦ οὐρανοῦ πίπτοντος καὶ πιεζεῖται ἐφ' ἑωυτῇ, ἅτε βαρυτέρης ἐούσης τῆς ἰκμάδος· πυκνοτέρη [13]δέ ἐστιν ὑπὸ τουτέου καὶ οὐκ ἔχει διαπνοὴν οὐδεμίην· οὐ γὰρ [14]ἔτι

[1] Γεν. Cξ. – οὕτω ξπ. — [2] Ante ἐς addit καὶ C. – ξυμβαίνῃ Zwing. – γενομένων Cξ. — [3] ἐς CHπ, Lind. – εἰς vulg. — [4] ὅταν pro ὅτι ἐν C. — [5] ἂν om. C. — [6] ὥστε τὸ φ. τὸ πρ. τροφὴν (καρπὸν FG) ἕξειν EFGHIJK P'π. – φῦλλον C. — [7] ὅσπερ Zwing. in marg., Lind. — [8] γῆς ἐὸν vulg. – ἐὸν om. C. – δύναμίς τις Cξ. — [9] τὸ Cξπ. – ἐκδώσοι K. – ἐκδόσει C. — [10] ἀπὸ τῆς γῆς om. C. – ἕλκων C. – ἐς Lind. — [11] γένηται H. — [12] τοῦ χειμῶνος Cξ. – πιεζεῖται C. – πιέζεται vulg. – ἐούσης CHπ. – οὔσης vulg. — [13] δ' Cξ. – τουτέου EHIπ. – τούτου vulg. – οὐδεμίαν CEHJK. — [14] ἔνεστιν ἔτι ἑωυτῇ E (ἕως τῇ, π). – Post ἔνεστι addunt ἑωυτῇ (H, al. manu) Q'; αὐτῇ Lind., Mack; ἐν ἑωυτῇ K. – μέγα τὸ ἀραιὸν CEFGHIJKOξπ. – τὸ ἀραιὸν μέγα vulg.

l'humeur par la racine et la transmet à la portion au-dessus du sol. A son tour, la partie supérieure se gonfle et a du souffle; et toute la qualité qui, dans le végétal, est légère, s'étant condensée et étant devenue feuilles, bourgeonne; et dès lors la croissance se fait aussi bien par le haut que par le bas. Ainsi les choses se passent contrairement pour le bourgeonnement, dans les végétaux nés de graines et dans les végétaux nés de marcotte : avec la graine, la feuille naît d'abord, puis les racines sont émises en bas; avec la marcotte, les racines se forment d'abord, puis les feuilles. Voici pourquoi : dans la graine même il y a abondance d'humeur; et, comme elle est tout entière dans la terre, la nourriture est d'abord suffisante pour la feuille, qui dès lors se développe jusqu'à l'enracinement; il n'en est pas de même pour la marcotte; elle ne provient pas d'un autre qui dès le début puisse alimenter la feuille; mais la marcotte même est comme l'arbre; la partie au-dessus du sol est considérable, de sorte que cette partie ne pourra s'emplir d'humeur si une force puissante, venant d'en bas, ne transmet de l'humeur dans le haut. Et d'abord, il faut que la marcotte se procure, dans la terre, de l'aliment à l'aide des racines, puis il faut qu'ayant ainsi pompé dans la terre, elle le porte en haut, et que les feuilles se développent en germination et en croissance.

24. (*Le végétal qui croît se ramifie. La cause en est dans la terre chaude en hiver et froide en été. La terre est chaude en hiver parce qu'elle est plus dense. L'auteur, établissant que, plus certaines substances sont serrées, plus elles s'échauffent, dit avoir été témoin d'incendies spontanés dus à cette cause. Voy. sur les embrasements spontanés, un mémoire de* M. Chevallier, *dans* Annales d'Hygiène, t. XXIX, p. 99.) Le végétal, quand il croît, se ramifie par cette nécessité que je vais dire : lorsqu'il lui arrive, en surabondance, de l'humeur tirée de la terre, il se forme, en raison de la plénitude, une éruption là où il y en a le plus, et en ce point le végétal se ramifie. Il croît et en grosseur et par le haut et par le bas, parce que la couche inférieure

ἔνεστι μέγα τὸ ἀραιὸν, καὶ διὰ τοῦτο τὸ κάτω τῆς γῆς τοῦ χειμῶνος θερμόν ἐστι. Καὶ γὰρ ἡ κόπρος [1]ἡ νεναγμένη μὲν εὐθερμοτέρη ἐστὶν [2]ἢ ἡ ἀραιὴ ἐοῦσα, καὶ ἄλλως τὰ μὲν ἰκμαλέα καὶ πεπιεσμένα ὑπὸ σφῶν αὐτῶν ἐκθερμαίνεται καὶ ἐν τάχει κάρτα ὑπὸ τῆς θερμασίης συγκαιόμενα σήπεται· οὐ γὰρ [3]δίεισι τὸ πνεῦμα δι' αὐτῶν, ἅτε πυκνῶν ἐόντων· ἢν δὲ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα, πολλῷ ἧσσω θερμαίνεται καὶ σήπεται. Οὕτω [4]δὴ καὶ πυροὶ καὶ κριθαὶ νοτερὰ ἐόντα καὶ [5]βεβυσμένα εὐθερμότερά ἐστιν ἢ εἰ ξηρὰ εἴη καὶ μανῶς κείμενα· καὶ ἱμάτια συνδεδεμένα καὶ κατεσφηνωμένα ἰσχυρῶς [6]δορὶ κατακαίεται ὑπὸ σφέων αὐτῶν, ὡς ἐγὼ ἤδη εἶδον, ὥσπερ ὑπὸ πυρὸς ἐκκαέντα· καὶ τἄλλα εἴ τις θέλοι ἐνθυμηθῆναι, πάντα ὅσα [7]πεπίεσται ὑπὸ σφῶν αὐτῶν, θερμότερα εὑρήσει ἢ τὰ ἀραιῶς κείμενα· οὐ γὰρ ἔχει [8]ἀναπνέειν ψυχρὸν ὑπὸ τῶν ἀνέμων. Οὕτω δὲ καὶ τῆς γῆς τὸ κάτω πλείης ἐούσης καὶ αὐτῆς [9]ὑφ' ἑωυτῆς πεπιεσμένης, ἅτε βαρείης καὶ πυκνῆς ἐούσης ὑπὸ τῆς ἰκμάδος, [10]θερμαίνεται ἐν χειμῶνι· οὐ γάρ ἐστιν αὐτῇ διάπνοος οὐδεὶς τοῦ θερμοῦ· ἀλλ' ὁκόταν πέσῃ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ ἐς [11]αὐτὴν, ὅταν ἀποπνέῃ ἐν τῇ γῇ ἀπ' αὐτοῦ, οὐ δίεισι πρόσω, ἅτε πυκνῆς ἐούσης τῆς γῆς· ἀλλ' ἡ πνοὴ ὀπίσω ἐς τὸ ὕδωρ ἔρχεται. Καὶ διὰ τοῦτο αἱ πηγαὶ θερμότεραί εἰσι τοῦ χειμῶνος καὶ μέζους ἢ τοῦ θέρεος· ὅτι, ἀποπνέοντος τοῦ πνεύματος, ὀπίσω ἔρχεται ἐς τὸ ὕδωρ, ἅτε τῆς γῆς πυκνοτέρης ἐούσης καὶ οὐ [12]διιείσης δι' αὐτῆς τὸ πνεῦμα. Καὶ τὸ ὕδωρ πολὺ ἐὸν, ᾗ [13]ἂν τύχῃ,

[1] Ἠνεγκαμένη pro ἡ ν. C.–ἠνεναγμένη Frob.–ἠναγκασμένη Gorr.–ἠνεναγμένη in textu, in marg. ἡ νεναγμένη vel ἠναγκασμένη Zwing.–ἡ νενυγμένη E (H, al. manu in marg.) π.–ἡ νενασμένη Lind., (Mack, sine ἡ).– Voy. dans Buttmann, Catalogue des verbes irréguliers, νάσσω et νέω; la forme νένασμαι paraît être la plus usitée; cependant on trouve aussi νένακται. De là la nécessité de ne rien changer. D'ailleurs, comme on voit, plusieurs de nos mss. sont conformes au texte de vulg.–εὐθερμοτέρα Eπ.–εὐθερμότερος FGJ. —[2] ἢ pro ἢ C.–ἡ om. COξ, Ald.–θερμασίας π.–συγκεόμενα C.—[3] διίεισι Frob.–δίησι COξ.—[4] δὴ E.–δὲ vulg.—[5] βεβυσμένα (H, al. manu in marg.) KO.–βεβρεγμένα vulg.–μανῶς Cξ.–ἀραιῶς vulg.—[6] δορικὰ vulg.–δωρικὰ Cξπ, Gorr.–δαρικὰ EP'.–Je lis δορὶ, supposant que la syllabe κὰ provient du κα qui suit; faute si commune de la part des copistes. Je prends δορὶ dans le sens de bâton; on connaît cette manière de lier un paquet avec une corde et un bâton.–καταχαίονται K.–ἐκκαέντα om. C.—[7] πεπίεκται CHKξ. –πεπίενται FGJδ, Ald.–πιπιεῦνται et πεπίευται quædam exempl. ap. Foes in notis.—[8] διαπνέειν E (H, al. manu) KP'Q', Lind.–διευπνέειν (sic) π.—[9] ἐφ' C.–βαρύης (sic) δ.—[10] θερμόν ἐστι τοῦ χειμῶνος Cπ.–αὐτῇ E (H, al. manu)

du sol est chaude en hiver et froide en été. Cet état est dû à ce que la terre est humide en hiver par l'eau tombant du ciel, et se comprime sur elle-même en raison de la plus grande pesanteur de l'humeur; cela la rend plus dense et lui ôte toute expiration; il n'y a plus de grands insterstices, et en conséquence la couche inférieure de la terre est chaude en hiver. Voyez en effet le fumier entassé : il est plus chaud que quand il n'est pas serré. Et, en général, les choses humides et comprimées sur elles-mêmes s'échauffent, et bientôt, brûlées fortement par la chaleur, elles se putréfient; en effet, le souffle ne les pénètre pas, puisqu'elles sont denses; mais, sèches et disposées d'une manière lâche, elles s'échauffent et se putréfient beaucoup moins. De même, du blé et de l'orge, humides et entassés, sont plus chauds que s'ils étaient secs et gisant sans compression. Des étoffes, liées ensemble et fortement serrées à l'aide d'un bâton, s'enflamment spontanément, ainsi que j'en ai été témoin, comme si le feu y avait été mis. En un mot, pour peu qu'on veuille y faire attention, tout ce qui est comprimé par soi-même, on le trouvera plus chaud que ce qui est disposé d'une manière lâche, car le frais des vents n'y peut pénétrer. Il en est de même de la terre, qui est pleine et comprimée par elle-même, étant devenue pesante et dense par l'humeur; la couche inférieure s'échauffe en hiver. Il n'y a pour elle aucune expiration du chaud; et, l'eau y tombant du ciel, quand cette eau, dans la terre, fournit des exhalaisons, elle ne va pas loin à cause de la densité du sol; mais l'exhalaison rentre dans l'eau. C'est pour cela que les sources sont plus chaudes et plus abondantes en hiver qu'en été; le souffle exhalé retourne dans

Kπ. – αὐτῆς vulg. – διάπνοος (διάπνεος sic J) οὐδεὶς (Cξ, οὐδὲ εἷς) EFGHIJKL OP'ξπ, Ald., Zwing. in marg. – διαπνοὴ οὐδεμία Zwing., Lind., Mack. – διαπνοὴ οὐδεὶς vulg. — [11] ἑωυτὴν FG. – Post πηγαὶ addit καὶ ἡ θάλασσα vulg. – καὶ ἡ θάλασσα om. Cξ. – θερμότερα H. – μέζους C. – μείζους vulg. – εἷς π. — [12] διείσης C (E, emend. al. manu) FGHIJK, Ald. – αὐτῆς CEFGH IJK, Ald., Frob., Zwing., Lind., Mack. — [13] ἦν pro ἂν FGHIJKO, Ald. – ἦν pro ἂν C. – τύχοι EHK. – Post τύχῃ addit τοῦτο δὴ (Hπ, sine δή; δὲ pro δὴ CFGIJ) vulg. – τοῦτο δὴ om., restit. al. manu E. – ῥηγνύει in marg. al. manu H.

ῥήγνυσι χωρέον, καὶ ὁδὸν [1]οἱ αὐτῷ ποιέεται εὐρυτέρην ἢ εἰ ὀλίγον εἴη· τὸ γὰρ ὕδωρ ἐν τῇ γῇ οὐχ ἕστηκεν, ἀλλ' ἀεὶ χωρέει ἐς τὸ κάταντες· εἰ δὲ [2]διιείη τοῦ χειμῶνος ἀπὸ τοῦ ὕδατος τὰ πνεῦμα ἡ γῆ δι' ἑωυτῆς, ἔλασσον τὸ ὕδωρ ἂν ἐχώρεεν ἐξ αὐτῆς, καὶ αἱ πηγαὶ οὐκ ἂν ἦσαν τοῦ χειμῶνος μεγάλαι. Πάντα ταῦτα εἴρηταί μοι ὅτι τῆς γῆς τὰ κάτω θερμότερα φαίνεται ἐὸν τοῦ χειμῶνος ἢ τοῦ θέρεος.

25. Νῦν δὲ θέλω εἰπεῖν [3]ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς ψυχρότερον φαίνεται ἐὸν ἢ τοῦ χειμῶνος· [4]τοῦ θέρεος γὰρ ἀραιή ἐστιν ἡ γῆ καὶ κούφη, ἅτε τοῦ ἡλίου σφοδρότερον προσβάλλοντος καὶ ἕλκοντος ἀπ' αὐτῆς πρὸς ἑωυτὸν τῆς ἰκμάδος· ἔχει δὲ ὕδωρ ἡ γῆ ἐν [5]ἑαυτῇ ἀεὶ πλέον ἢ ἔλασσον· τὰ δὲ πνεύματα ἡμῖν ἐστι πάντα ἀφ' ὕδατος· τούτου δὲ [6]πέρι πάρα συμβάλλεσθαι, ὅτι οὕτως ἔχει, ἀπὸ γὰρ τῶν ποταμῶν πάντων [7]πνεύματα χωρέει ἑκάστοτε καὶ τῶν νεφέων, τὰ δὲ νέφεα ἐστὶν ὕδωρ ξυνεχὲς ἐν ἠέρι. Καὶ τότε [8]δὴ ἡ γῆ ἀραιή ἐστι [9]τοῦ θέρεος καὶ κούφη καὶ ὕδωρ ἐν αὐτῇ ἔχουσα· καὶ τὸ ὕδωρ ῥέει ἐς τὰ κατάντεα· χωρέοντος δὲ τοῦ ὕδατος [10]αἰεὶ ἀποπνέει αὐτόθεν ἕτερον ἐξ ἑτέρου πνεῦμα· τὸ δὲ ἀποπνέον διὰ τῆς γῆς ἔρχεται κούφης καὶ ἀραιῆς ἐούσης καὶ ψῦχος τῇ γῇ ποιέει, καὶ αὐτὸ [11]τὸ ὕδωρ συμψύχεται. Ἔχει δὲ οὕτως ὥσπερ εἴ τις ἐν ἀσκῷ ὕδωρ ἐνεὸν ἀποπιέσειεν ἰσχυρῶς καὶ παραπνοὴν τῷ ὕδατι [12]ποιήσειε νύγματι βελόνης ἢ μικρῷ μέζονι, καὶ τὸν ἀσκὸν κρεμάσας αἰωροίη, οὐδὲν διὰ τοῦ τετρημένου πνεῦμα χωρήσει, ἀλλ' ὕδωρ, οὐ γὰρ [13]ἔχει εὐρυχωρίην

[1] Ἑωυτῷ pro οἱ αὐτῷ E (H, al. manu) Kπ. – οὐχ CEFGHIJKξπ, Lind. – οὐκ vulg. – ἀεὶ om. K. – αἰεὶ Mack. – ἐς CE, Lind. – εἰς vulg. — [2] διίησι vulg. – διΐεισι EHKπ. – Il faut lire διιείη. – ὕδωρ (addunt ἀεὶ E, H al. manu, KOP'Q') ἐχώρεεν vulg. – Je ne crois pas que la construction puisse se passer de ἄν; et je vois cette particule dans ἀεὶ, fausse leçon donnée par plusieurs mss. — [3] οὔτι (sic) C. – ἢ τοῦ χειμῶνος om. FG (H, restit. al. manu) IJK. — [4] τοῦ θέρεος γὰρ ἀραιή ἐστιν ἡ γῆ καὶ κούφη Cξ. – ἡ γῆ τοῦ θέρεος ἀραιή ἐστι καὶ κούφη vulg. – σφοδροτέρου Ald. – θερμότερον (H, al. manu supra lin.) KO. – σφοδρ. πρ. καὶ om. Cξ. – προβάλλοντος Ald. – τῆς ἰκμάδος C, Lind. – τὰς ἰκμάδας vulg. — [5] ἑαυτῇ C. – αὐτῇ vulg. – αὐτῇ EFGHJKO, Ald., Lind., Mack. – ἀεὶ om. CJξ. – αἰεὶ Lind., Mack. — [6] πέρι ἐπιδείξω συμβάλλεσθαι vulg. – πέρι παρασυμβάλλεσθαι Cξ. – Dans vulg. ἐπιδείξω me paraît peu clair ; j'aime mieux prendre la leçon de C, en la décomposant. — [7] πνεῦμα EFGHJKOπ. – τὰ νέφεα δ' ἐστὶν Cξ. – ἐνάγοι pro ἐν ἠέρι J. – Dans la glose de la marge on lit correctement ἐν ἀέρι. – ἠέρι C, Mack. – ἀέρι

l'eau, vu la densité plus grande de la terre, densité qui ne permet pas au souffle d'y cheminer. L'eau, étant abondante, se fraye une voie là où la chance la conduit; cette voie est plus large que si l'eau était en petite quantité. En effet, l'eau n'est pas fixe dans la terre, mais toujours elle va vers les déclivités; si, en hiver, la terre faisait cheminer en elle le souffle venant de l'eau, l'eau sortirait moins abondante et les sources ne seraient pas grosses en hiver. Tout cela est dit par moi afin de montrer que la couche inférieure de la terre est plus chaude en hiver qu'en été.

25. (*Explication de la fraîcheur des couches profondes de la terre en été. Comparaison avec une outre emplie d'eau, et à laquelle on fait un trou avec une aiguille.*) Maintenant je vais parler de la fraîcheur, plus grande en été qu'en hiver, du sol profond. En été, la terre est rendue lâche et légère par le soleil, dont l'action s'exerce plus fortement et qui en attire à soi l'humeur. La terre contient toujours en soi plus ou moins d'eau. Or, tous les souffles nous viennent de l'eau. On peut se convaincre de la vérité de ce fait en considérant que partout des vents proviennent des fleuves et des nuages; les nuages sont de l'eau cohérente en l'air. Ainsi, la terre est en été lâche, légère, et contient de l'eau en elle. L'eau coule vers les déclivités; et, dans ce cheminement perpétuel de l'eau, un souffle s'en exhale de proche en proche; exhalé, il se répand dans la terre, qui est légère et lâche, procure du froid à la terre et refroidit l'eau simultanément. C'est comme si, ayant mis de l'eau dans une outre et l'ayant serrée fortement, on pratiquait un pertuis à l'eau avec la pointe d'une aiguille ou quelque instrument de peu plus gros, et qu'on suspendît l'outre; il n'en sortira par le pertuis aucun souffle, mais seulement de l'eau; en effet, l'eau n'a pas

vulg. — [8] δὲ EHK. — [9] τοῦ θέρεος καὶ κούφη Cξ. – καὶ (καὶ om. K) κούφη (τοῦ φύτου pro κούφη Ald.) τοῦ θέρεος vulg. – αὐτῇ L. – αὐτῇ vulg. – ἐς Hπ, Lind., Mack. – εἰς vulg. – τὸ κάταντες L, Lind., Mack. – τὰ (sic) κάταντες J. — [10] ἀεὶ CH. – αὐτόθι EKP'π. — [11] τὸ ὕδωρ om. L. — [12] ποιήσει ἐν Cξ. – μέζονι H. – μείζονι vulg. – ἐωροίη O. – τετρημμένου CH, Frob. — [13] γὰρ ἂν ἔχῃ J. – ἢ J. – τὸ ὕδωρ om. Lind.

ἢ ἀποπνεύσεται τὸ ὕδωρ· ὧδε [1] δὴ ἔχει καὶ τοῦ χειμῶνος τῷ ὕδατι ἐν τῇ γῇ. Ἢν δὲ τῷ ὕδατι ἐν τῷ ἀσκῷ τὴν εὐρυχωρίην ποιήσῃς, καὶ κρεμάσας αἰωροίης τὸν ἀσκὸν, πνεῦμα διαχωρήσει διὰ τοῦ [2] τετρημένου, εὐρυχωρίη γάρ ἐστι τῷ πνεύματι ἀπὸ τοῦ ὕδατος κινευμένου διαχωρέειν διὰ τοῦ ἀσκοῦ, καὶ διὰ τοῦ τετρημένου τὸ πνεῦμα διὰ τόδε δίεισιν· ὧδε [3] δὴ ἔχει καὶ τοῦ θέρεος ἐν τῇ γῇ τῷ ὕδατι· εὐρυχωρίη γάρ ἐστιν αὐτῷ, ἅτε τῆς γῆς ἀραιῆς ἐούσης καὶ τοῦ ἡλίου ἕλκοντος ἀπ' αὐτῆς [4] τῆς ἰκμάδος πρὸς ἑωυτὸν, καὶ διεῖσα τὸ πνεῦμα, ἅτε ψυχρὸν ἐὸν ἀπὸ τοῦ ὕδατος δι' αὐτῆς ἀραιῆς ἐούσης καὶ κούφης, [5] διὰ τοῦτο ψυχρόν ἐστιν αὐτῆς τὸ κάτω τοῦ θέρεος, καὶ τὸ ὕδωρ [6] αἴτιον τοῦ πνεύματος τοῦ ἐν τῇ γῇ ψυχροῦ ἐόντος, καὶ αὐτὸ ἀφίησιν ἐς [7] ἑωυτὸ τὸ πνεῦμα καὶ ἐς τὴν γῆν. Καὶ ἅμα τὸ ἀντλεόμενον ἐν τῷ φρέατι ἀεὶ διακινέει τὸ πνεῦμα ὥσπερ ῥιπὶς, καὶ ποιέει αὐτὸ ψῦχος παρέχειν τῷ ὕδατι· τὸ δὲ μὴ ἀντλεόμενον τοῦ ὕδατος τοῦ θέρεος, ἀλλ' ἑστηκὸς, πυκνὸν ἐὸν, οὐχ ὁμοίως δέχεται τὸ πνεῦμα ἐς [8] ἑωυτὸ ἀπὸ τῆς γῆς, οὐδ' ἐς τὴν γῆν ἀφ' ἑωυτοῦ ἀποδίδωσι, καὶ ἅμα ἀπὸ τοῦ ἡλίου καὶ τοῦ [9] ἠέρος οὐ σκιδναμένου ἐν τῷ φρέατι, ἀλλὰ στασίμου ἐόντος, θερμαίνεται πρῶτον αὐτοῦ τὸ ἐπιπολῆς· ἔπειτα τὸ ἕτερον ἐπὶ τῷ ἑτέρῳ ἐκ τὸ κάτω διαδίδωσι τὴν θερμασίην· καὶ διὰ τοῦτο [10] τὸ μὴ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος θερμότερόν ἐστι τοῦ ἀντλεομένου. Αἵ τε πηγαὶ αἱ βαθεῖαι μάλα τοῦ θέρεος ἀεὶ ψυχραί [11] εἰσιν. Καὶ ἀρυσθὲν τὸ ὕδωρ τοῦ χειμῶνος ἐκ τῆς γῆς θερμῆς ἐούσης, τὸ μὲν παραυτίκα θερμόν ἐστιν, ὅταν δὲ χρόνος [12] διίῃ, ψυχρόν ἐστιν, ὑπὸ τοῦ ἠέρος δηλονότι γενόμενον ψυχροῦ ἐόντος, ἐξαεροῦται γὰρ ὑπὸ τοῦ ἀνέμου, καὶ τὸ πνεῦμα δι' αὐτοῦ [13] διηθέει· καθάπερ καὶ τὸ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, ὁκόταν ἀρυσθῇ, [14] ψυχρὸν αὐτίκα ἐστὶ,

[1] Δὴ om. C. – καὶ om. Cξ. – τῷ om. EKπ. – ἐν τῇ γῇ. Ἢν δὲ τῷ ὕδατι om. J. — [2] τετρημμένου H. – κινεομένου CH. – κινεουμένου (sic) Eπ. – διίεισιν vulg. – διίησιν CO. – δίισιν Ald. – δίεισιν E, Lind., Mack. — [3] δὲ C. — [4] τὴν ἰκμάδα E (H, al. manu) P'Q'π. – τὰς ἰκμάδας L. – καὶ διεῖσα καὶ διεῖσα (sic) C. — [5] καὶ διὰ E. – ἐὸν vulg. – Je lis ἐστιν pour ἐὸν, même sans mss., la construction me semblant l'exiger. — [6] μᾶλλον vulg. – Je lis αἴτιον au lieu de μᾶλλον; c'est une correction très-hasardée; mais le texte de vulg. me paraît tout à fait incohérent. Voy. les traductions latines : ideoque pars ejus inferior frigida existit, quin et aqua multo magis quam spiritus in terra frigidus. Le raisonnement général de l'auteur se comprend : en hiver l'eau, comprimée, ne laisse pas échapper de πνεῦμα, de là la chaleur de la terre; en été elle a de l'espace, laisse échapper le πνεῦμα,

de place pour produire une exhalaison. Tel est, en hiver, le cas de l'eau dans la terre. Mais, si vous donnez de l'espace à l'eau dans l'outre, et que vous suspendiez l'outre, il sortira du souffle par le pertuis; en effet, le souffle qui provient de l'eau mise en mouvement a de l'espace pour s'étendre dans l'outre, ce qui fait que du souffle sort par le pertuis. Tel est, en été, le cas de l'eau dans la terre; elle a de l'espace, vu que la terre est lâche et que le soleil en pompe l'humidité, de l'espace qui laisse cheminer le souffle; ce souffle froid, venant de l'eau qu'elle contient en raison de sa laxité et de sa légèreté, refroidit la couche inférieure du sol en été, et l'eau, productrice du souffle qui est froid dans la terre, l'envoie en elle-même et dans la terre. L'action de puiser dans le puits meut incessamment le souffle comme fait un soufflet, et l'oblige à procurer du froid à l'eau; mais l'eau où l'on ne puise pas en été et qui reste stagnante, se condensant, ne reçoit pas semblablement en soi le souffle provenant du sol et ne transmet pas non plus au sol le souffle qu'elle produit; de plus, comme dans le puits elle n'est pas fendue par le soleil et l'air qui l'y laissent immobile, la surface s'en échauffe d'abord, puis de proche en proche la chaleur descend jusqu'au fond; c'est ce qui fait qu'en été l'eau où l'on ne puise pas est plus chaude que l'eau où l'on puise. Les sources très-profondes sont toujours froides en été. L'eau puisée en hiver, la terre étant chaude, est chaude tout d'abord; puis, au bout d'un certain temps elle devient froide, évidemment par l'action de l'air qui est froid. L'eau en effet

et de là la fraicheur. — [7] ἑωυτὸν J. – αἰεὶ Lind., Mack. – διακονέει C. — [8] ἑωυτὸν J. – ἀπὸ ἑωυτοῦ EFGHIJKO. – ἀπ' ἑωυτοῦ C, Ald., Frob., Zwing., Lind. – ἠελίου π. — [9] ἠέρος C (H, al. manu), Lind., Mack. – ἀέρος vulg. – οὐ om. K. – παρὰ pro ἐν Ald. – ἐπιπολλῆς π. — [10] τὸ om. O. – μάλιστα EP'Q', Lind. – θέρεως Frob. – αἰεὶ Lind., Mack. — [11] εἰεισὶν (sic) τοῦ ὕδατος pro εἰσιν C. – Post εἰσιν addunt τοῦ ὕδατος ξ. – ἀρισθὲν Ald. – ἐκ τῆς γῆς C. – ἐκ om. vulg. – Ante τὸ μὲν addit ἐκ ταύτης vulg. – ἐκ ταύτης om. Cξ. – τὸ παρ' αὐτίκα μὲν C. – μὲν om. ξ. — [12] ἐγγένηται Cξ. – δηλονότι γεν. om. Cξ. – γινόμενον Hπ. – ἐξαραιοῦται (H, al. manu) KP'Q', Mack. — [13] διηθέῃ Ald., Frob., Zwing. – διηθέει, al. manu διαθέει H. – διαθέει EKπ. – ἀρισθῇ Ald. — [14] ψυχρὸν αὐτίκα, γίνεται θερμὸν διὰ τόδε Cξ. – ἀρυσθέντος (H, al. manu) KO.

θερμὸν δὲ γίνεται διὰ τόδε, ὅτι τῆς γῆς ἀραιῆς ἐούσης καὶ πνεύματος ἐόντος ἐν αὐτῇ ψύχεται, ὅταν δὲ ἀρυσθέντι χρόνος ἐγγένηται, στάσιμον γίνεται[1] καὶ θερμὸν ὁρᾶται· θερμαίνεται γὰρ ὑπὸ τοῦ ἠέρος θερμοῦ ἐόντος, ὥσπερ καὶ τὸ μὴ ἀντλεόμενον ὕδωρ ἐν τῷ φρέατι τοῦ θέρεος[2] διὰ τοῦτο θερμὸν γίνεται. Ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

26. Ἀναλήψομαι[3] δὲ αὖθις ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς ψυχρόν ἐστι, τοῦ δὲ χειμῶνος θερμὸν, τὸ δὲ ἄνω τῆς γῆς τοὐναντίον τούτου, καὶ δεῖ τῷ[4] δένδρεϊ μὴ δύο θερμὰ ὁμοῦ προσγίνεσθαι, μηδὲ δύο ψυχρὰ ὁμοῦ, ἢν μέλλῃ ὑγιαίνειν· ἀλλ' ἢν μὲν ἐκ τοῦ ἄνωθεν προσγίνηται θερμὸν, ἐκ τοῦ κάτωθεν δεῖ ψυχρὸν αὐτῷ προσγίνεσθαι, [5] καὶ πάλιν ἢν ἐκ τοῦ ἄνωθεν προσγίνηται ψυχρὸν, ἐκ τοῦ κάτωθεν δεῖ θερμὸν αὐτῷ προσγίνεσθαι. Αἵ τε ῥίζαι[6] ὅ τι ἂν ἑλκύσωσι, τῷ δένδρεϊ προσδιδόασι, καὶ τὸ δένδρεον τῇσι ῥίζῃσι. Καὶ γίνεται οὕτω ταμιείη καὶ ψυχροῦ καὶ θερμοῦ· ὥσπερ[7] καὶ τῷ ἀνθρώπῳ ἐσιόντων ἐς τὴν κοιλίην σιτίων,[8] ὅσα πεσσόμενα θερμαίνει, δεῖ ψύξιν ἀποδίδοσθαι ἀπὸ τοῦ πότου, οὕτω καὶ τῷ δένδρεϊ δεῖ ἀνταποδίδοσθαι ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω, καὶ ἀνάπαλιν. Καὶ αὔξεται τὸ[9] δένδρον καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω διὰ τόδε, ὅτι[10] οἱ τροφή ἐστι καὶ ἐκ τοῦ κάτωθεν καὶ ἐκ τοῦ ἄνωθεν. Καὶ ἕως μὲν ἂν ἁπαλὸν ἔῃ σφόδρα, οὐ καρποφορέει· οὐ γάρ ἐστιν αὐτῷ πίειρα δύναμις οὐδὲ παχείη, ἥτις ἐς καρπὸν ξυμβάλλεσθαι οἵη τέ ἐστιν· ὁκόταν δὲ χρόνος ἐγγένηται, [11] τότε ἤδη ἐν αὐτῷ αἱ φλέβες εὐρεῖαι γινόμεναι ποιεῦνται ἐν αὐτῷ ἐκ τῆς γῆς πίειραν καὶ παχείην τὴν ῥύσιν· ὁ δὲ ἥλιος διαχέων αὐτὴν ποιέει ἐκζεῖν ἅτε κούφην ἐοῦσαν ἐς τὰ ἄκρα καὶ καρποῦσθαι· καὶ τὴν μὲν λεπτὴν ἰκμάδα ἀπὸ τοῦ καρποῦ ἀποφέρει, τὴν δὲ[12] παχείην πέσσων ὁ ἥλιος καὶ θερμαίνων γλυκαίνει· τὰ δὲ οὐ καρποφορέοντα

[1] Καὶ θερμὸν ὁρᾶται om. Cξ. – ὥσπερ καὶ τὸ μὴ ἀντλ. repetitur C. — [2] καὶ διὰ Cξ. – διὰ τ. θ. γίν. om. FG (H, restit. al. manu in marg.) IJδ. — [3] δ' C. – ψυχρότερον C. — [4] δένδρεϊ Eξπ. – δένδρει vulg. – μὴ δύο θερμὰ om. Θ. – προσγένηται π. — [5] καὶ.... προσγίνεσθαι om. Cξ. – προσγίνηται EHΘ. – προσγίνεται J. – προσγένηται vulg. – αὐτῷ om. (E, restit. al. manu) HIΘ. — [6] ὅ τι ἂν (E, al. manu ὅταν) (H, al. manu) K, Lind., Mack. – ὅταν (ὅτε J) vulg. – δένδρεϊ ξπ. – δένδρει vulg. – ἐκδιδόασι Cξ. — [7] καὶ CE (H, al. manu) Θ. – καὶ om. vulg. — [8] ἄσσα C. – ὅσσα (sic) Eπ. – Post δεῖ addunt καὶ E (H, al. manu) KOπ. – τόπου CEFGHIJKOξπ. – δένδρεϊ Eπ. – δένδρει vulg. – δένδεει (sic) ξ. – ἐκ τοῦ κάτω δεῖ ἀνταποδίδοσθαι C. – πρὸς τὰ ἄνω CJξ. — [9] δένδρον CEFGHIJK. — [10] οἱ EKπ. – ἡ pro οἱ vulg. – καρποφορέει CHξπ. – καρποφορεῖ vulg. – πίηρα E (H, al. manu) Kπ. – παχεία P'. – εἰς C. — [11] τότ' Cξ. –

s'aère par le vent, et le souffle la pénètre. De la même façon, l'eau puisée en été, froide pour le moment, devient chaude; car, refroidie par la laxité de la terre et le froid qui y est, elle devient, quand il s'est écoulé quelque temps après qu'elle a été puisée, stagnante et chaude; elle s'échauffe par l'air qui est chaud, de même que l'eau du puits où l'on ne puise pas en été. Voilà ce que j'avais à dire là-dessus.

26. (*Il est nécessaire à l'arbre que le sol soit chaud en hiver et froid en été. Théorie de la fructification. Étude de la greffe.*) Je reviens : en été, la couche inférieure du sol est froide, chaude en hiver; c'est le contraire pour la couche supérieure. Or, il faut que l'arbre, s'il doit prospérer, n'ait à la fois ni deux chauds, ni deux froids. Si d'en haut il lui vient du chaud, il importe que d'en bas il lui vienne du froid; et, réciproquement, si d'en haut il lui vient du froid, il importe que d'en bas il lui vienne du chaud. Les racines transmettent à l'arbre ce qu'elles tirent, et l'arbre aux racines. De la sorte s'opère une dispensation du froid et du chaud. De même que chez l'homme, des aliments ayant été introduits dans le ventre, ceux qui, digérés, échauffent, doivent être contre-balancés par le froid provenant des boissons, de même, chez l'arbre, il doit y avoir balancement du haut par le bas, et réciproquement. L'arbre croît en haut et en bas, parce qu'il reçoit de l'aliment et par le bas et par le haut. Tant qu'il est très-tendre, il ne porte pas fruit, n'ayant pas de qualité grasse et épaisse qui puisse concourir à la fructification. Mais, quand le temps est venu, alors les veines, s'étant élargies, y font un flux gros et épais venant du sol; le soleil, par son action diffusive, met en ébullition, aux extrémités, ce flux qui est léger, et y produit du fruit; il enlève au fruit l'humeur légère; mais, cuisant et échauffant l'humeur épaisse, il l'adoucit. Les arbres qui ne portent pas de fruit n'ont pas en eux assez de partie grasse pour la fructi-

γενόμεναι ξ. – πίηραν E (H, al. manu) Kπ. – παχείαν (ξ, al. manu παχίην), Frob., Zwing. – ἐκζῆν C. – ἐκζέειν Lind., Mack. — [12] παχείαν EP'. – πέσων J, Ald. – δ om. C.

τῶν [1]δενδρέων οὐκ ἔχει πῖαρ ἐν αὐτοῖσιν, ὅσον ἐς τὸν καρπὸν ἐκδώσεται. Τὸ δὲ πᾶν δένδρεον ὁκόταν ὑπὸ χρόνου στερεωθῇ καὶ λάβηται ἐκ [2]τοῦ κάτω τῇσι ῥίζῃσιν ἤδη βεβαίως, πέπαυται αὐξόμενον πάντη. Ὁκόσοισι δὲ ἐς δένδρεα ἀφ' ἑτέρων δενδρέων ὀφθαλμοὶ [3]ἐνετέθησαν καὶ δένδρεα γενόμενα ἐν τοῖσι δένδρεσι ζῇ καὶ καρποφορέει καρπὸν οὐχ ὅμοιον οἷσιν ἐγκείμενά ἐστιν, τρόπῳ τοιῷδε [4]τοῦτο γίνεται. Ξυμβαίνει τῷ ὀφθαλμῷ πρῶτον μὲν βλαστάνειν, τροφὴν γὰρ εἶχε πρῶτον μὲν ἀπὸ τοῦ δενδρέου, ἀφ' οὗ ἀπηνέχθη, ἔπειτα ἐν ᾧ [5]ἐνετέθη· ὁκόταν δὲ βλαστήσῃ οὕτω, μεθίησιν ἐς τὸ δένδρεον ῥίζας ἀπ' αὐτοῦ λεπτάς· καὶ πρῶτον ἀπαυρίσκεται ἀπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ δενδρέῳ ἐνεούσης, ἐν ᾧ ἔγκειται· ἔπειτα χρόνου ἐγγενομένου ἀφίησι ῥίζας ἐς τὴν γῆν διὰ τοῦ ἐν ᾧ [6]ἐνετέθη, καὶ ἐπαυρίσκεται ἀπὸ τῆς γῆς ἕλκον τὴν ἰκμάδα, καὶ τροφὴ αὐτῷ ἐκεῖθέν ἐστιν· ὥστε μὴ θαυμάζειν ἑτερόκαρπα εἶναι τὰ ἔνθετα τῶν δενδρέων, ζῇ γὰρ ἀπὸ τῆς γῆς. Ταῦτά μοι εἴρηται περὶ τῶν δενδρέων καὶ τῶν καρπῶν διὰ τόδε, ὅτι οὐχ οἷόν τε [7]ἦν μοι τὸν λόγον ἡμιτελέα καταλιπεῖν.

27. Ἀναβήσομαι δ' [8]αὖθις ὀπίσω οὗ εἵνεκά μοι λόγου τάδε ἀμφὶ τῶνδε εἴρηται. Φημὶ γὰρ τὰ ἐν τῇ γῇ φυόμενα πάντα ζῆν ἀπὸ τῆς γῆς τῆς ἰκμάδος, [9]καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ ἰκμάδος ἐν ἑωυτῇ, οὕτω καὶ τὰ φυόμενα ἔχειν· οὕτω καὶ τὸ παιδίον [10]ζῇ ἀπὸ τῆς μητρὸς ἐν τῇσι μήτρῃσι, καὶ ὅκως ἂν ἡ μήτηρ ὑγιείης ἔχῃ, οὕτω καὶ τὸ παιδίον ἔχει. Ἢν δέ [11]τις βούληται ἐννοεῖν τὰ ῥηθέντα ἀμφὶ τούτων ἐξ ἀρχῆς ἐς τέλος, εὑρήσει τὴν φύσιν πᾶσαν παραπλησίην ἐοῦσαν τῶν τε ἐκ [12]τῆς γῆς φυομένων καὶ τῶν ἐξ ἀνθρώπων. Καὶ ταῦτά [13]μοι ἐς τοῦτο εἴρηται.

28. Τὸ δὲ παιδίον ἐν τῇσι μήτρῃσιν ἐὸν τὼ χέρε ἔχει πρὸς τῇσι γένυσι καὶ τὴν κεφαλὴν πλησίον τοῖν ποδοῖν· καὶ οὐκ ἔστιν ἀτρεκείῃ κρῖναι, οὐδ' ἂν ἴδῃς ἐν τῇσι μήτρῃσι τὸ παιδίον, πότερον τὴν

[1] Δένδρεων C, Ald. – πίαρ CH, Ald. – αὐτοῖσιν Kühn. – ἐκδέσεται EH. — [2] τῶν Lind., Mack. – τὴν ῥίζαν (H, al. manu) K. – αὐξανόμενον (H, al. manu) K. – πάντως K. – πάντη om. C (EH, restit. al. manu) FGIJKδπ. — [3] ἀνετέθησαν C. – γεν. C. – γιν. vulg. – τῇσι C. – καρποφορέει Cξ. – καρποφορεῖ vulg. – καὶ καρπὸν C. — [4] τόδε Cξ. — [5] ἐτέθη CE, Ald. – οὕτω Cξπ. – οὕτως vulg. – ἐπαυρίσκεται CE (H, al. manu) K. – δένδρω C. — [6] ἐτέθη O. – ἕλκων Lind., Mack. – κεῖθεν C. — [7] ἦν om. C. — [8] αὖτις Cξ. – εἴρηνται Cξ. — [9] καὶ.... ἰκμάδος om. FG (H, restit. al. manu in marg. cum ἰκμάδος ἔχῃ) IJ. – ἰκμάδος ἔχει O (π, ἔχῃ). — [10] ζῆν al. manu H. – τύχῃ pro ἔχῃ O. – τύχοι al. manu,

fication. L'arbre tout entier, quand il est solidifié par le temps et qu'il a jeté par le bas de fortes racines, cesse absolument de s'accroître. Quant aux œilletons qui, pris à un arbre, ont été mis sur un autre, et qui, devenus arbres sur des arbres, vivent et portent un fruit différent de la tige où ils sont placés, voici comment se passent les choses : d'abord l'œilleton bourgeonne, ayant de la nourriture premièrement de l'arbre où on l'a pris, puis de celui où on l'a greffé. Ayant ainsi bourgeonné, il pousse dans l'arbre des racines menues ; et au début, il profite de l'humeur qui est dans la tige qui le porte ; ensuite, avec le temps, il prolonge ses racines jusqu'au sol par la tige où il est greffé, profite de l'humeur qu'il pompe dans la terre, et a de la nourriture par cette voie ; de sorte qu'il ne faut pas s'étonner de voir les greffes porter des fruits dissemblables, car elles vivent de la terre. J'ai donné ces détails sur les arbres et les fruits, parce qu'il n'était pas possible de laisser ce sujet à demi achevé.

27. (*Similitude complète entre les produits du sol et les produits humains.*) Maintenant, je reviens à l'objet qui m'a conduit à ces explications. Je dis que toutes les productions végétales vivent de l'humeur de la terre et sont dans un état correspondant aux qualités de cette humeur que la terre a en soi. De même l'enfant vit de la mère dans les matrices, et est dans un état correspondant à la santé de la mère. Si l'on veut considérer, depuis le commencement jusqu'à la fin, ce qui a été dit là-dessus, on trouvera une complète similitude entre les produits du sol et les produits humains. Voilà ce que j'avais à dire sur ce point.

28. (*Position de l'enfant dans la matrice.*) L'enfant, dans les matrices, a les bras appuyés aux mâchoires et la tête près des pieds. Il n'est pas possible de décider, quand même vous

erat prius ἔχη H. — [11] Post τις addit ἐξ ἀρχῆς ἐς τέλεον δ. - βούληται om. J. - εἰς H. — [12] τῆς CE. - τὴν ἀνθρωπίνην pro τῶν ἐξ ἀνθρώπων Cξ. — [13] μὲν pro μοι J. - ταὐτὸ Cξ. - χέρε EHIKπ. - χεῖρε vulg. - ἔχει om. O. - τῇσι CEX. - τοῖσι vulg. - γέννυσι HJKO, Frob. - γόνυσι Zwing. in marg.

κεφαλὴν ἄνω ἔχει ἢ κάτω· ἐκ δὲ τοῦ ὀμφαλοῦ τεταμένοι εἰσὶν [4]οἱ ὑμένες, ἀντέχοντες αὐτό.

29. Νῦν δὲ ἐρῶ τὴν διάγνωσιν, ἥν ἔφην ἀποφανέειν ὀλίγῳ πρότερον, ὡς ἀνυστὸν ἀνθρωπίνῃ γνώμῃ ἐμφανέα ἐοῦσαν παντὶ τῷ θέλοντι εἰδέναι τούτου πέρι, ὅτι ἥ τε γονὴ [2]ἐν ὑμένι ἐστὶ, καὶ κατὰ μέσον αὐτῆς ὁ ὀμφαλός ἐστι, κἀκείνη πρῶτον τὴν πνοὴν ἕλκει ἐς ἑωυτὴν καὶ μεθίησιν ἔξω, καὶ ἐκ τοῦ ὀμφαλοῦ ὑμένες εἰσί· καὶ τὴν ἄλλην φύσιν τοῦ παιδίου, ἣν εἴρηκα, ὧδε ἔχουσαν εὑρήσεις πᾶσαν μέχρις ἐς τέλος, ὅκως μοι ἐν τοῖσι λόγοισιν ἀποπέφανται, [3]εἰ βούλεταί τις τοῖσιν ἱστορίοισιν, ὁκόσοισι μέλλω λέγειν, χρῆσθαι. Εἰ γάρ τις [4]ἐθέλει ὠὰ εἴκοσιν ἢ πλείονα, ὅκως ἐκλεπίσηται, ὑποθεῖναι ἀλεκτορίσιν εἴτε δυσὶν [5]εἴτε πλείοσι, καὶ ἑκάστης ἡμέρης ἀπὸ [6]τῆς δευτέρης ἀρξάμενος μέχρι τῆς ὑστάτης ᾗ ἐκλέψει τὸ ὠὸν, ὑφαιρέων, [7]καταγνύων, σκοπῶν εὑρήσει ἔχοντα πάντα κατὰ τὸν ἐμὸν λόγον, ὡς χρὴ ὄρνιθος φύσιν [8]ξυμβάλλειν ἀνθρώπου φύσει. Ὅτι γὰρ ὑμένες εἰσὶν ἐκ τοῦ ὀμφαλοῦ τεταμένοι, καὶ τἄλλα [9]ὁκόσα εἴρηται περὶ τοῦ παιδίου, οὕτως ἔχοντα ἐν τῷ ὠῷ τῷ ὀρνιθείῳ εὑρήσεις ἐξ ἀρχῆς ἐς τέλος· καίτοι ἤν τις μηδέπω [10]εἶδε, θαυμάσει ἐν ὀρνιθείῳ ὠῷ ἐνεόντα ὀμφαλόν. Ἔχει δὲ ὧδε τάδε, καὶ ταῦτα [11]δέ μοι ὧδε εἴρηται.

30. Ὁκόταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγένηται, [12]ξυμβαίνει τότε τῷ παιδίῳ κινεομένῳ καὶ ἀσκαρίζοντι χερσί τε καὶ ποσὶ ῥῆξαί τινα τῶν ὑμένων τῶν ἔνδον· ῥαγέντος δὲ [13]ἑνὸς, ἤδη καὶ οἱ ἄλλοι ἀχιδνοτέρην δύναμιν ἔχουσι· καὶ ῥήγνυνται πρῶτον μὲν οἱ κείνου ἐχόμενοι· ἔπειτα ὁ ὕστατος. Ὁκόταν δὲ ῥαγῶσιν οἱ ὑμένες, τότε λύεται

[1] Οἱ om. EHO. – αὐτὸν J. – αὐτῶν Cξ, Zwing. in marg. — [2] καὶ ἐν O. – ἐπεὶ (καὶ pro ἐπεὶ CEFGHIJKLOξπ, Ald., Zwing., Mack; ἐπεὶ καὶ Lind.) κατὰ vulg. – ὁ om. Cξ. – πνοιὴν Lind., Mack. – τὴν πνοὴν πρῶτον O. – εἰς E. — [3] ἣν βούληταί τις C, Zwing. in marg. – ἣν pro εἰ ξ. – ἱστορίησιν O. — [4] ἐθέλοι CEFGHIJKOξπ. – ἢ καὶ vulg. – καὶ om. C. – πλείω O. – ὑποθῆναι Ald., Frob., Zwing., Lind., Mack. – ἀλεκτορίοισιν EFGHIJKOπ, Ald. — [5] ἢ pro εἴτε EFGHIJO, Ald., Zwing. – εἴτε καὶ vulg. – καὶ om. C. – ἡμέρας I. — [6] τῆς om. EHπ. – ἢ pro ᾗ Cξ. – ἐκλείψει C (FH, emend. al. manu) Iπ. – ὑφορέων al. manu H. — [7] καὶ (καὶ om. CFGHIJO, Ald.) καταγνύων vulg. – σκοπεῖν al. manu in marg. — [8] σ. C, Mack. — [9] ὁκ. Cξ. – ὁπ. vulg. – ὅσα K. — [10] οἶδε E. – Remarquez εἶδε avec ἤν. – θαυμάσειεν EF. – ἐν om. FL. – ἐόντα Cξ. — [11] δὲ om. Cξ. – μου FIJ. — [12] σ. Mack. – ἀναγκάζοντι pro ἀσκ. J, Zwing. in marg. – ὑμενέων E. — [13] ἤδη ἑνὸς vulg. – ἑνὸς ἤδη Cξ. – καὶ om. Cξ. – ῥήγνυται HIJO. – ἐκείνου C.

verriez l'enfant dans les matrices, si la tête est en haut ou en bas. De l'ombilic partent les membranes qui le retiennent.

29. (*Excellente comparaison de l'œuf humain avec l'œuf de l'oiseau.*) Maintenant je dirai les caractères dont j'ai promis l'exposition un peu plus haut, et qui montrent, d'une façon aussi claire que peut le faire une intelligence humaine pour quiconque veut examiner ces choses, qui montrent, dis-je, que la semence est dans une membrane, que l'ombilic en occupe le milieu, que d'abord elle attire à soi le souffle et puis l'expire, et que les membranes tiennent à l'ombilic. En un mot, toute la constitution de l'enfant que j'ai énoncée, vous la trouverez telle, d'un bout jusqu'à l'autre, que mes discours l'ont expliquée, si vous voulez user des preuves dont je vais parler. Prenez vingt œufs, ou plus, et donnez-les à couver à deux poules ou à plusieurs; puis, chaque jour, depuis le deuxième jusqu'au dernier, celui de l'éclosion, ôtez un œuf, brisez-le, et examinez; vous trouverez tout conforme à mon dire, autant que la nature d'un oiseau doit se comparer à celle de l'homme. Les membranes y partent de l'ombilic; tout ce que j'ai dit au sujet de l'enfant, se découvre d'un bout à l'autre dans un œuf d'oiseau; et celui qui n'a pas encore fait ces observations, s'étonnera de rencontrer dans un œuf d'oiseau un ombilic. Les choses sont ainsi; et voilà ce que j'avais à dire là-dessus.

[1] Δ' H. — [2] δὲ εἶναι, ὅ τι (τι om. EGHIK, Ald.; ὅτι K', Mack) ἂν vulg. – Il faut supprimer εἶναι; ou, si on le gardait, ce serait ὅτι qui devrait disparaître, et on lirait ἀνάγκην sans ἐστί. — [3] οἳ IJ. — [4] αὐτὸ EHIKL, Lind., Mack. – αὐτῷ vulg. – ἐς ἑωυτὴν vulg. – ἑωυτὴν n'a pas de place ici. — [5] τρ. τῷ αὐτῷ EHIK. – ὥσπερ vulg. – ὧπερ GHKL, Ald. – ὡς (ὡς om., restit. al. manu H) εἴρηται vulg. — [6] ἢ pro καὶ ἢν G. – ἐνάτη HK. — [7] γραφὴ J. — [8] ὑγιηροῦ, supra lin. ὑγροῦ H. — [9] μὲν EH. – μὲν om. vulg. – τοῖσιν IJ. – ἀρτίῃσι EHK. – ὑγιεῖ Mack. — [10] κατὰ EH. – πυρετήνας EHP'Q'ν, Lind. – πυρέξας vulg. — [11] καὶ om. L, Lind. — [12] πυρετήνῃ E, Lind. – πυρεταίνῃ HIJ. – πυρετήνει P'Q'. – πυρεταίνει vulg. – ἐνταῦθα βούλεται δεῖξαι ὅτι οἱ ἀριθμοὶ μυστικήν τινα δύναμιν ἔχουσι καὶ ἀπόρρητον καὶ δείκνυσιν ἑαυτὸν

si plus abondant, le cinquième jour, la fièvre est continue pendant quatre. Ainsi pour les jours se jugent les maladies, quand la fièvre tombe.

46. (*Comment la fièvre tombe. Action des jours impairs.*) C'est aux jours impairs que l'on guérit et que l'on meurt; pourquoi, je le dirai tout à l'heure; maintenant je vais expliquer pourquoi la fièvre tombe. Quand la fièvre provenant du corps fait invasion, nécessairement l'humeur qui cause le mal sort le troisième jour, ou quelque autre des jours impairs, d'après la théorie énoncée plus haut; en effet, elle ne sort pas avant qu'il en vienne du ventre une autre qui soit bonne. Le jour intermédiaire et le lendemain, le corps tire du ventre ce qu'il y a versé le jour précédent, à moins que le ventre n'ait filtré et ne renferme une autre humeur; or, ce liquide repris est mauvais. Mais, si la fièvre s'en va le troisième jour, elle s'en va de la façon exposée pour le jour même; et c'est ainsi que la fièvre, née du corps, se dissipe le troisième jour. Semblablement, si la fièvre cesse le cinquième, le septième ou le neuvième, elle cesse de la même façon que pour le troisième. En effet, le feu trouve sa nourriture dans les lieux que j'ai signalés un peu plus haut; et, l'humide étant abondant et l'emportant, le patient est guéri. Voici pourquoi la solution de la fièvre a lieu dans les jours impairs : les jours pairs, le corps tire du ventre, les jours impairs il verse, et le ventre évacue chez l'homme sain. Telle est la nécessité qui produit la crise des maladies les jours impairs; et, par ce procédé, le fébricitant arrive à guérison. J'ajoute que la plus grande souffrance qui afflige les malades dans les jours impairs, est produite par cette cause et est naturelle. Le corps se trouble quand il y a fièvre; la preuve, c'est que le frisson le parcourt de temps en temps; ce qui n'arriverait pas si le liquide n'était pas troublé, et s'il ne s'en séparait une part plus ou moins

οὐ μόνον ἐν ἄλλοις εἶναι καὶ ἀστρονομικὸν καὶ γεωμετρικὸν καὶ μουσικὸν ἀλλὰ καὶ ἀριθμητικόν· πέντε γὰρ εἶχεν εἴπερ τις τὴν ἐπιστήμην τῶν μαθημάτων G. - ἀποκρίνετο Frob. — [13] ἢ om. K.

ἢ ἔλασσον, καὶ ἐκράτει ἄλλοτε ἄλλου. Μάλιστα [1]δὲ τετάρακται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ, καὶ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. Ἔχει γὰρ ὧδε· ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος ἐξωθέεταί τι ἐκ τοῦ σώματος ὑπὸ τῆς νεωτάτης ἰκμάδος [2]νικώμενον, καὶ χωρέει ἐς τὴν κάτω κοιλίην, καὶ ἡ κοιλίη προσσυνθερμαίνεται τοῦ πονέοντος δεχομένη ἐς ἑωυτὴν μᾶλλον ἢ τῷ πρὶν χρόνῳ. Τοῦτο δὲ [3]γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου· καὶ ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ καὶ μὴ πολλὸν ἔῃ τὸ λυπέον τὸν ἄνθρωπον, ἀναφέρειν τὴν θέρμην ἡ κοιλίη καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσει, καὶ γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα, καὶ ἢν ἡ τροφὴ τῷ πυρὶ ἐοῦσα [4]ἐξαναλωθῇ, ἡ δὲ ὑγιηρὴ ἐπικρατήσῃ· ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος ὑγιὴς ἐγένετο δι' αἰτίας τὰς προειρημένας.

47. Νῦν [5]δὲ ἐρέω διότι θνήσκουσιν ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. Φημὶ δὲ, ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται, καὶ ἅλες [6]χωρέει ἐς τὴν κοιλίην, καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην τὸ σῶμα ἐπαυρίσκεται, καὶ [7]δυσωδίαν δεῖ γενέσθαι περὶ τὸ πνεῦμα, καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου, τὴν πνοὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ, [8]ἐξατμιῇ ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. Οὐ γὰρ ἐπικρατέει ἑτέρη [9]ἡ ὑγιηρὴ ἰκμὰς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης ἐπαιρομένη, ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς, διεξήτμισεν. Οὕτω δή περ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται· τοῦτο πᾶς [10]οἶδεν ὅς τίς ποτε. Καὶ μὴν ὅτι [11]γε τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημήϊόν ἐστι τόδε· [12]ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὗτοι οὐ μὴν

[1] Δὲ καὶ vulg. – καὶ om. EH. – τότε μάλιστα K. — [2] γινόμενον Ald. – πρὶν om. K. — [3] κρίνεται EGIJKP'Q'. – ἀναφέρει vulg. – ἀναφέρειν L, Lind. – Correction évidente. — [4] ἐξαναλωθῇ. Ἦν δὲ ἡ (ἡ om. E) (ἤν τε ἡ K') vulg. – Effacez ἡ, lisez ἡ pro ἢν, et ôtez le point. – προειρημένας EHP'v, Lind. – εἰρημένας vulg. — [5] δ' EHQ'. — [6] ἰσχυρὸν vulg. – Lisez χωρέει; comp. plus haut, l. 4. — [7] δυσσωδίαν Ald. – δὲ pro δεῖ EHIJ. – γίνεσθαι IKL, Lind. — [8] ἐξατμιεῖ vulg. – ἐξατμεῖ, al. manu ιεῖ H. – ἐξατμίζει ou ἐξατμιᾷ, dit Weigel, Suppl. de Schneider. Je lis ἐξατμιῇ pour ἐξατμιᾷ. — [9] ἡ om. EHIJK, Ald. – ὑγιηρὴ ἡ G. – ἐπαιρομένης Foes in not., Mack. – [καὶ] ἐξαν. Lind. – ἐς τὸ πῦρ v. – διεξήτμισεν EG (H, al. manu), Lind. – διεξήτμησεν vulg. — [10] οἶδ' E. – εἶδεν J. — [11] γε om. FGIJK. – ἐστι om. FGIJK. — [12] ὁπ. H.

grande qui l'emporte, tantôt sur une humeur, tantôt sur l'autre. Or, le trouble est le plus considérable dans les jours impairs, pendant une maladie, et c'est alors surtout que le frisson se fait sentir. Les choses se passent ainsi : une part du liquide qui est malade est expulsée hors du corps par la plus récente humeur qui est la plus forte ; elle arrive dans le ventre inférieur; le ventre s'échauffe, recevant plus d'humeur malade qu'il ne faisait auparavant; c'est surtout lors de la crise de la maladie que cela survient. Si le corps verse peu à peu dans le ventre l'humeur morbide qui n'est pas très-abondante, le ventre et le corps peuvent supporter la chaleur dans la crise; et le patient guérit après la sortie de l'humeur morbifique, après la consomption de ce qui alimentait la fièvre, et le triomphe de l'humeur saine. De cette façon, l'homme malade guérit par les causes susdites.

47. (*Pourquoi l'on meurt les jours impairs. Faute que l'on commet en purgeant aux jours impairs. Cette faute était commise par les anciens médecins.*) Maintenant, je dirai pourquoi l'on meurt les jours impairs. En effet, si l'humeur morbide est abondante dans le corps, le trouble est excessif, une part considérable arrive dans le ventre; le corps, ne pouvant supporter la chaleur, y puise; nécessairement l'haleine devient fétide; le corps, incapable, par faiblesse, vu que tout l'humide est malade, d'attirer la respiration afin de rafraîchir ce qui est dans le ventre, exhale toute la partie vitale de l'humeur, et c'est ainsi que meurt le patient. Une autre humeur saine ne vient pas triompher; mais, soulevée tout entière par l'humeur morbide qui abonde, consumée par la fièvre, elle s'exhale. C'est de la même façon que la souffrance est la plus forte dans les jours impairs, il n'est personne qui ne sache cela. Au reste, voici la preuve que l'humide est troublé dans ces jours mêmes : ceux qui, saisis d'une fièvre continue, ont été purgés dans les jours pairs, n'ont pas éprouvé de superpurgation; mais ceux qui dans les jours pairs ont pris une forte purgation, ont été superpurgés, et beaucoup même ont succombé à cet accident.

[1]ὑπερεκαθάρθησαν· ὁκόσοι δὲ ἐν τῇσι περισσῇσιν ἐφαρμακεύθησαν [2]ἰσχυρῇ φαρμακείῃ, ὑπερεκαθάρθησαν, πολλοὶ δὲ καὶ ἀπώλοντο ὑπερκαθαρθέντες. Οἱ γοῦν πρόσθεν ἰητροὶ ἐν τούτῳ μάλιστα ἡμάρτανον, ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι καὶ [3]ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει. Τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος· καὶ ἤν τις ἐπιτεταραγμένῳ ἐόντι ἔτι μᾶλλον ταράξῃ, φάρμακον [4]ἐμβαλὼν, οὐ θαῦμά ἐστιν ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον.

48. Καὶ τὰ [5]ἕλκεα φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν, ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται, καὶ πληροῖ, ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος· καὶ ἢν [6]μὲν μελεδαίνηται καὶ ἔχῃ ἔξοδον τὸ πῦος ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος· ἢν δὲ [7]μὴ μελεδαίνηται, οὐκ ἔχον ἔξοδον τὸ πῦος, αὐτοῦ καταμένον σὺν τῷ κατελθόντι, πόνον παρέχει καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος· καὶ ἀπ' ἐκείνου, [8]ἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι· ἢν δὲ ἐν τῇσι χερσὶν, αἱ [9]ἐν τῶν χειρῶν τῇσι προσφύσεσιν ἐοῦσαι· καὶ ἐκ τούτου βουβῶνες γίνονται. [10]Ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτει, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος, ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει, καὶ πληρεύμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι· τὸ δὲ θερμανθὲν καὶ τὸ ἄλλο σῶμα θερμαίνει, καὶ ἡ θερμασίη οὕτως [11]ἐς τὰ ἕλκεα γίνεται· θερμαίνεται γὰρ τὸ σῶμα καὶ τὰ ἕλκεα ὑπὸ τῆς κλονήσεως τοῦ ὑγροῦ, καὶ ἡ ταλαιπωρίη τοιοῦτον ἐργάζεται. Ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα, καὶ κατὰ λόγον τουτέων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ,

[1] Ὑπεκαθάρθησαν EFGHIJK, Ald. — [2] ἰσχυρὴ K. – ἐκαθάρθησαν vulg. – ὑπερεκαθάρθησαν K', Lind. – Correction évidente. – ἀπόλλοντο K. – ἀπώλλοντο Mack. — [3] ἀπόλυον (sic) al. manu J. — [4] ἐμβαλλὼν (sic) H. — [5] Post ἕλκεα addit ἢν μὲν (μὲν om. KL, Lind.) μελεδαίνηται (κελεδαίνηται sic F) vulg. – Ces mots me paraissent parasites et introduits par l'erreur d'un copiste qui les lisait aussi plus bas. – φλεγμαίνει.... μελεδαίνηται om., restitut. al. manu in marg. sic : μάλιστα ἐν τ. τ. ἡμ. φλεγμαίνει, τὸ γὰρ ὑγρὸν ἐς ἁπάσας ἔρχεται τὰς φλέβας.... ἐπὴν ἐς τὸ ἕλκος ἡ νοῦσος ἵκηται E. — [6] μὲν om. K. — [7] μὴ EFGHIJKP', Ald., Foes in not., Lind., Mack. – μὴ om. vulg. – μελεδαίνηται EGIK, Ald., Lind. – μελεδαίνεται vulg. – πύον

C'est en cela que les anciens médecins se trompaient surtout; ils purgeaient aux jours impairs, et tuaient les malades, ne sachant pas qu'il en était ainsi. En effet, l'humide, dans le corps du malade, se trouble davantage les jours impairs, à cause de l'humeur que le corps verse dans le ventre; et, si au trouble préexistant on ajoute un nouveau trouble en administrant un purgatif, ce n'est pas merveille que le patient succombe à cette complication.

48. (*La même théorie s'applique aux plaies. L'auteur résume toute la théorie sur le cycle de trois jours.*) Les plaies aussi sont le plus emflammées ces jours-là; l'humide, quand il est troublé, va dans toutes les veines et les remplit, la maladie étant venue à la plaie. Si le mal est soigné et que le pus, poussé par le liquide qui, dans le trouble, afflue, ait une issue, la plaie se purge à l'extérieur; mais, si le mal n'est pas soigné, le pus, n'ayant pas d'issue, demeure sur place avec ce qui afflue, cause de la douleur, et soulève la chair autour de la plaie. De là, si la plaie est aux jambes, les veines des jointures des membres inférieurs se gonflent; si aux bras, celles des jointures des membres supérieurs; et, de la sorte, se forment des bubons. Ceux qui sont saisis de fièvre sans avoir aucun autre mal, sont fébricitants par l'effet de l'humeur, qui est trop grasse; les veines emplies causent de la souffrance et de la chaleur à la plaie; celle-ci, échauffée, échauffe à son tour le reste du corps. C'est ainsi que la chaleur vient aux plaies. Le corps et les plaies s'échauffent par l'agitation du liquide. La fatigue en fait autant. L'inflammation des plaies décline le cinquième jour, ou plutôt, d'après un tel ordre, suivant la grandeur de la plaie : le troisième, le cinquième, le septième, le neuvième, le onzième. Une première période étant close, le

Mack. — [8] χῆν GHJK, Ald., Frob., Mack.- Ante ἦν addit καὶ E. — [9] ἐν om. vulg. - ἐν est nécessaire; Lind. l'a bien vu, qui met : αἱ ἐν τῇσι προσφύσεσι τῶν χειρῶν ἐοῦσαι. — [10] ὁκόσοι, al. manu σοισι H. - ἐμπίπτει EGHIJ, Mack. - ἐμπίπτῃ vulg. - πιωτέρης IJ. — [11] εἰς IJK. - χλονήσιος Lind. - τοιοῦτο Lind.

καὶ τριταῖα καὶ πεμπταῖα καὶ ἑβδομαῖα καὶ [1]ἐνναταῖα καὶ ἑνδεκαταῖα· εἶτα ἀπηρτισμένης πρώτης περιόδου, πάλιν δευτέρας ἀρχὴ [2]ἡ τρίτη, ἥτις ἐστὶν ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη· τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. Οὗτος ὁ λόγος ἐρεῖ τὰ [3]νουσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ τριταίην ἐξιέναι, τὴν δὲ κόπρον δευτεραίην· καὶ ταῦτα τριταῖα ἐόντα [4]ἱστορέει ἀλλήλοισιν ὅτι οὕτως ἔχει. Οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται.

49. Νῦν δὲ ἐθέλω [5]ἀτρεκέστερον εἰπεῖν, διότι νοσέουσιν οἱ ἄνθρωποι· ἐρέω δὲ σὺν τούτῳ τῷ λόγῳ καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοῖα [6]ἑκάστη αὐτέων ἐργάζεται. Φημὶ δὲ, ἢν μὲν ἐμμείνῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται καὶ ἕτερα σιτία ἐπιπίπτῃ, τὸ σῶμα [7]πληρούμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης, θερμαίνεται, καὶ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ. Τὸ δὲ πῦρ οὕτως γενόμενον οὐκ ἄπορον οὐδὲ ἰσχυρόν ἐστιν, ἐν ᾧ [8]ἡ ἰκμὰς ἰσάζει κατὰ πλῆθος [9]ἡ ἡμέας λυπέουσα ὀλίγῳ πλέον· ἢν γὰρ τοῦθ᾽ οὕτως ἔχῃ καί τις κάρτα ἰσχύῃ καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται. Ἓν δὲ νούσημα [10]μόνον ἀπὸ πάσης τῆς ἰκμάδος, καὶ σημήϊα ἴσχει ἑπτά· βήξ τε γὰρ ἴσχει μιν, βληχρὴ [11]καὶ ξηρὴ ἐοῦσα, γαστήρ τε [12]σκληρὴ γίνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντὸς, [13]καὶ τὴν κεφαλὴν βαρέεται, [14]καὶ ἐξερᾷ, [15]καὶ πυρεταίνει, [16]καὶ οὖρον οὐ χρηστῶς διέρχεται· ταῦτα δέ ἐστι τῆς νούσου ταύτης [17]ἀπὸ πάσης τῆς ἰκμάδος γενομένης σημήϊα ἑπτά· ἢν δὲ τοῦ ἀποπάτου μὴ διαχωρέοντος κρατέῃ μία [18]ἰκμὰς τῶν ἄλλων,

[1] Ἐναταῖα HK. – δευτέρης Lind. – ἀρχῆς vulg. – ἀρχὴ K', Lind., Mack. – Correction évidente. — [2] ἡ K', Mack. – ἡ om. vulg. – τεσσαρεσκαιδεκάτης FGJ, Ald. — [3] νουσ. K, Lind., Mack. – νοσ. vulg. — [4] ἐκχωρέει pro ἱστ. exempl. Vaticana mss., Mercur. in marg. – οὗτος ὁ λόγος EH. — [5] ἀτρεκέστατον, al. manu τερον H. — [6] αὐτέων ἑκάστη K. – δὲ om. H. – ἐκμείνῃ J. — [7] πληρεύμενον K'. — [8] ἡ EH. – ἡ om. vulg. — [9] ἡ om. vulg. – ἡ sera facilement tombé devant ἡμέας. – ἡμᾶς E. – ἡμέρας J. — [10] μόνον om. HJK. – Ante βὴξ addunt α FGIJK. – Sic legitur ap. L et Mack : πρῶτον βήξ τε γὰρ ἴσχει μιν βληχρή· δεύτερον καὶ ξηρὴ ἐοῦσα· τρίτον ἡ γαστὴρ σκληρὴ γίνεται ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντός· τέταρτον κατὰ τὴν κεφαλὴν βαρέεται· πέμπτον καὶ ἐξερᾷ· ἕκτον καὶ πυρεταίνει· ἕβδομον καὶ οὖρον οὐ χρηστῶς κτλ. – μὲν vulg. – μιν J. — [11] Ante καὶ addunt β FGIJK. – Ante γαστὴρ addunt γ FGIJK. – ἡ γαστὴρ EHJK, Lind. – δὲ pro τε Lind. — [12] ξηρὴ EH. – ἐντὸς ἐόντος I. – εἴσω ἐόντος EHP'ν. – εἴσω Q'. — [13] Ante καὶ addunt δ FGIJK. —

troisième jour, qui est le quatorzième à compter du premier, devient le début d'une seconde période. C'est au quatorzième jour que décline l'inflammation des plus grandes plaies. Ce raisonnement montre que les maladies se jugent les jours impairs, que chez l'homme sain l'humeur sort le troisième jour et les excréments le deuxième ; et ces opérations, allant de trois en trois jours, se servent mutuellement de preuve pour témoigner que les choses sont ainsi. De la sorte, toute cette explication est complète.

49. (*Explication plus détaillée de pathogénie. Une maladie causée par toute l'humeur, a sept signes. Comparaison du corps fébricitant avec un vase où bouillent de l'eau et de l'huile: l'eau diminue bien plus que l'huile. De même, par la force de la fièvre, l'eau du corps diminue bien plus que la bile.*) Maintenant, je vais énoncer plus exactement pourquoi les hommes deviennent malades ; j'exposerai en même temps quels sont les principes des maladies et quels effets chacune d'elles produit. Je dis que, s'il reste plus qu'il ne faut d'aliments déjà digérés, si le sujet n'a pas d'évacuation et que d'autres aliments soient ingérés, le corps, empli par l'humeur ancienne et par l'humeur récente, s'échauffe, et la fièvre en résulte. La fièvre ainsi engendrée n'est ni périlleuse ni intense, quand l'humeur qui cause notre mal ne dépasse pas beaucoup en quantité l'état régulier. S'il en est ainsi, que le sujet soit vigoureux et que les choses appropriées soient administrées, il guérit. Une seule maladie provient de toute l'humeur et a sept signes : il y a une toux légère et sèche, le ventre se durcit, attendu que les selles restent dedans ; la tête est pesante, on vomit, on a la fièvre, et l'urine rendue n'est pas de bonne nature. Tels sont les sept signes de cette maladie, provenant de toute l'humeur. Si, les selles ne marchant pas, une humeur l'emporte sur les

[14] Ante καὶ addunt ε FGIJK. – ἐξεμεῖ E. – ἐξεᾶ (sic) FGHIJK, Ald. — [15] Ante καὶ addunt ϛ FGIJK. – πυρεταίνει Frob. — [16] Ante καὶ addunt ζ FGIJK. — [17] τῆς ἀπὸ πάσης ἰκμ. K. — [18] ἰκμὰς τῶν ἄλλων EHv. – τῶν ἄλλων ἰκμὰς vulg. – πολλῷ EHP'Q'v. – π. om. vulg.

πολλῷ κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος. Καὶ ἢν τις τῷ πυρετῷ [1] γινομένῳ ἀπὸ πάσης τῆς ἰκμάδος τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, περιοίσεται ἡ νοῦσος, ὅσῳ [2] γ' ἂν αὐτὴ κρατέῃ τῶν ἰκμάδων, τρόπῳ τοιῷδε· θερμαινομένου τοῦ [3] σώματος ἐξατμιῇ μάλιστα διὰ τούτου τὸ ὑδρωποειδὲς, ὅ τι ἐστὶ τῷ πυρὶ πολεμιώτατον· καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον, ὅ τι ἐστὶ χολῶδες καὶ τῷ πυρὶ τροφὴ μάλιστά ἐστιν. [4] Ἐξατμιᾷ δὲ τρόπῳ τοιῷδε· ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφα ἐς χαλκεῖον ἐγχέας, ξύλα πουλλὰ ὑποκαίοι πουλὺν χρόνον, τὸ μὲν δὴ ὕδωρ πολλῷ ἔλασσον ἔσται· [5] ἐξατμισθήσεται γὰρ ἐκ τοῦ χαλκείου· τὸ δὲ ἄλειφα ὀλίγῳ ἔλασσον, ὅτι τὸ μὲν ὕδωρ [6] ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς καὶ κοῦφον [7] γενόμενον ἐξατμιᾷν, τὸ δὲ ἄλειφα ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν οὐ δύναται καταλεπτύνεσθαι, οὐδὲ ἀτμιᾷν ὁμοίως τῷ ὕδατι. [8] Οὕτω δὴ καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει· ὁ μὲν γὰρ ὕδρωψ θερμαινομένου τοῦ σώματος [9] ἐξατμιᾷ ἔξω· τὸ δὲ χολῶδες ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν [10] οὐ δύναται ἀτμιᾷν καταλεπτυνόμενον ὁμοίως· [11] τὸ δὲ χολῶδες καταλειπόμενον μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα· πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρὶ [12] γίνεται, καὶ ῥακούμενον ἐν τῷ σώματι ἢ στηριξάμενον, τὴν νοῦσον ἐπεκράτυνε πρὸς τὰ πρόσθεν. Καὶ ταῦτα μὲν εἴρηται ὅτι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται.

50. Ἢν δὲ μὴ [13] αὐτῶν πλήθει κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γενομένη εἴτε καὶ κατὰ σμικρὸν συλλέγεται, καὶ τὸ ἄλλο σῶμα [14] δύναται, τοῦτο γενόμενον ὑπὸ ἰσχύος ἀναφέρει, μέχρις οὗ ἀρχή τις ἐπιγένηται, καὶ [15] ἢν τὸ πλεῖον γενόμενον ὑγρὸν μὴ ἀποκαθαίρηται ὁ ἄν-

[1] Γεννομένω (sic) H. – ἀποστάσης vulg. – ἀπὸ πάσης K', Lind. – Correction évidente. — [2] δ' vulg. – Je lis γ'. – αὐτὴ EH. – αὐτέη vulg. — [3] σώματος (H, al. manu αἵματος) v, Foes in not., Mack. – αἵματος vulg. – ἐξατμιεῖ vulg. – διὰ τοῦτο Foes in not. – τοῦ ὑδρωποειδέος (ὑδροποειδέος IK) vulg. – τὸ ὑδρωποειδὲς Foes in not. – Correction excellente. — [4] ἐξατμιεῖ K. – ἄλειφαρ Lind. – πουλὰ vulg. – πουλλὰ GIJK. – πολλὰ EH, Lind. – ὑποκαίοι EHIL, Lind., Mack. – ὑποκαίει vulg. – Post ὑπ. addit πουλλὰ J. — [5] ἐξατμισθήσεται GIJK. – ἐξατμησθήσεται vulg. – ἐξατμηθήσεται E. – γὰρ om. J. – ἄλειφαρ E, Lind. — [6] καταλεπτύνεσθαι ὑπὸ ἀραιότητος EH. — [7] γιν. H. – ἐξατμιᾶν EGHIJK, Ald. – ἐξατμιᾷ vulg. – ἄλειφαρ E, Lind. — [8] καὶ ἐν τῷ ἀνθρ. δὲ οὕτως ἔχει K. – δὲ pro δὴ E. – ὕδροψ IK. — [9] ἀτμιᾷ EH. – τὸ δὲ χολῶδες.... ὁμοίως om., restit. al. manu in marg. E. — [10] οὐχ ὁμοίως καταλεπτυνόμενον ἀτμιᾷ ἔξω Hv. — [11] καταλεπτυνόμενον δὲ τὸ χολῶδες EHKv. – καταλεπτυνόμενον vulg. – Lisez ici καταλειπόμενον; voy. plus haut, l. 5, καταλείπεται δὲ κτλ. – θερ-

autres, le patient s'en tirera beaucoup mieux. La fièvre provenant de toute l'humeur, si les choses convenables ne sont pas administrées, la maladie se prolongera en proportion de la domination qu'elle a sur les humeurs, de cette façon : le corps s'échauffant, la partie aqueuse, qui est la plus ennemie du feu, est exhalée le plus à travers le corps, et il reste la partie grasse et légère, qui est bilieuse et le principal aliment du feu. L'exhalation est comparable à ce qui se passe dans un vase où l'on aurait versé de l'eau et de l'huile, et sous lequel on brûlerait pendant longtemps beaucoup de bois; l'eau diminuera beaucoup, s'en allant par exhalation hors du vase, l'huile diminuera peu; l'eau, en effet, vu sa laxité, peut être atténuée par le feu, et, devenue légère, se vaporiser; mais l'huile, vu sa cohérence et sa densité, ne peut être atténuée ni se vaporiser comme l'eau. Il en est de même dans l'homme; l'eau, par l'échauffement du corps, se vaporise et s'en va; la bile, étant cohérente et dense, ne peut être atténuée et vaporisée semblablement; elle reste et échauffe davantage le corps, car c'est pour le feu une plus abondante et meilleure nourriture; et, dispersée dans le corps ou fixée, elle ajoute une nouvelle force à la maladie. Voilà ce que j'avais à dire sur les souffrances qu'éprouve le patient quand il n'a ni évacuation ni traitement.

50. (*Trois principes de maladie : la pléthore déjà expliquée; les violences; les intempéries célestes. Explication des effets de la violence.*) Si les humeurs ne surabondent pas, soit par un afflux qui s'est fait tout à la fois, soit par une accumulation qui s'est faite peu à peu, et que le reste du corps soit souffrant, le patient, en raison de sa vigueur, supporte cet état jusqu'à

μαίνεται, al. manu ποιεῖ θερμαίνεσθαι H. — [12] γίνεται ἡ χολὴ vulg. - ἡ χολὴ om. (H, restit. al. manu) ν. - στηριζάμενον (sic) Ald. - ἐπεκράτυνε om. K. - ἔμπροσθεν L, Lind., Mack. - ὅ τι G, Mack. - εἰ E. - καθήρηται EI. — [13] αὐτῷ K', Mack. - ἐσάπαξ EG. - σμικρὸν H. - μικρὸν vulg. - συλλέγηται vulg. - συνάγηται G. - συλλέγεται EH. — [14] δυνᾶται (sic) K'. - τοῦτο [δὲ] Lind. - γινόμενον vulg. - γενόμενον H. - ἡ ἀρχή τις EHIJK. — [15] ἦν om. (E, al. manu εἶ) FGHIJK, Ald. - γινόμενον vulg. - γεν. EH.

θρωπος, νοῦσος ἔνθεν γίνεται τρόπῳ τοιῷδε. Ἀρχαί εἰσι τρεῖς ἀφ' ὧν αἱ νοῦσοι γίνονται· καὶ μία μὲν [1]ἤδη εἴρηταί μοι ὁκοῖα ἄσσα ἐργάζεται ἐν τῷ σώματι· ἀπέδειξα γὰρ ὅκως τε καὶ διότι, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοσέει· δευτέρα δέ ἐστιν ἢν συμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια καὶ παρὰ δίαιταν εἶναι· τρίτη [2]δὲ, ἤν τι βίαιον προσπέσῃ· βίαιον δὲ λέγω εἶναι καὶ πτῶμα καὶ τραῦμα καὶ πληγὴν καὶ ταλαιπωρίην καὶ εἴ τι ἄλλο ἐστὶ τοιοῦτον. Τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ, ἢν δὲ [3]μικρὴ, οὐ μεγίστη· δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος· τρίτη δὲ, ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ πρὸς [4]τὴν ὑγιείην. Τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν· ἕκαστα δ' αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω. Ἢν μὲν τρῶμα γένηται, δῆλον ὅτι [5]ἡ σὰρξ διεκόπη καὶ ἕλκος ἐγένετο· τοῦτο δὲ νούσημα ὀνομάζω εἶναι. Ἢν δὲ φλάσμα γένηται πληγέντος ἢ [6]πεσόντος ἤ τι ἄλλο τοιοῦτο παθόντος καὶ οἴδημα γένηται, [7]τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης καὶ ὑποδραμὸν ἐς τὰς φλέβας χανούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν, συνεστράφη, καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο καὶ [8]μέχρι τούτου πάρεστι, μέχρις ἀποκαθαρθῇ καθότι ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα [9]εἴτε σὺν χειρουργίῃ εἴτε καὶ μὴ δίοδος γένηται τῷ αἵματι ἢ πυωθέντι ὑπὸ χρόνου ἢ καὶ μή. Καὶ ἡ ταλαιπωρίη δὲ τοιοῦτον ἐργάζεται· ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιστα τοῦ αἵματος ταλαιπωρίη ᾖ, κεῖθι στηρίζεται καὶ θερμαίνεται, [10]καὶ πόνος ἐκ τοῦ τοιούτου γίνεται· ἢν δὴ κρατήσῃ μὲν τούτων, κάρτα δὲ πλῆθος γεννήσῃ ταλαιπωρίη, καὶ ἡ κοιλίη καὶ κύστις μηδαμῶς διηθήσῃ ἐν τάχει τὸ πλῆθος, πῦρ ἐπιπέσοι ἂν [11]ἐκ τούτου. Κἢν μὲν ἡ πρόσθεν ἰσάσῃ ἰκμὰς, οὐδαμῶς· ἢν [12]δ' ἐν τῇ τα-

[1] Δὴ EH. – καὶ pro μοι EH. – ὁκοῖα καὶ ὅσα vulg. – ὁκοῖα ἄσσα EH. – ἀποκαθαίρεται vulg. – καθαίρηται G. – ἀποκαθαίρηται EHIK, Ald., Frob., Lind. — [2] δέ ἐστιν vulg. – ἐστιν om. EH. – εἶναι λέγω EK. – τοιοῦτο EH. – ἀρχαίων J. — [3] μικρὰ vulg. – μικρὴ GHIJKP'Q', Lind., Mack. – δευτέρα J. — [4] τὴν EHQ', Lind., Mack. – τὴν om. vulg. – ὑγιείην E. – ὑγείην vulg. – τοιγαροῦν om. H. — [5] ἡ EH. – ἡ om. vulg. – νόσημα EH. — [6] τρωθέντος pro π. EP'Q'. — [7] τὸ γὰρ αἷμα Lind. – θερμαθὲν GK, Ald. — [8] μέχρις H. – παρέστη E. – καθότι εἴρηται, ἀπὸ τῶν χωρίων Lind. — [9] καὶ εἴτε vulg. – Je retranche ce καὶ, qui est nuisible. – χειρουργείη G. — [10] καὶ ὁ π. EP'Q', Mack. – τοῦ om. EIJK. – δὲ pro δὴ E. – κρατηθῇ vulg. – κρατήσῃ K'. – πλῆθος (πλήθεος K; πλεῖθας (sic) Ald.) γένηται ταλαιπωρίη (ταλαιπωρίης E; ἐκ ταλαιπωρίης Mack) vulg. – Je lis γεννήσῃ. – καὶ ἡ κύστις Lind. — [11] ἐκείνῃ pro ἐκ τ.

ce qu'un principe morbifique survienne, et alors, si l'excès du liquide n'est pas évacué, la maladie en résulte de la façon que voici : il y a trois principes d'où proviennent les maladies ; j'en ai déjà expliqué un, et j'ai dit quels effets il produit dans le corps, ayant montré comment et pourquoi, à défaut d'évacuation, on devient malade. Le second principe est dans les intempéries célestes. Le troisième est dans les violences extérieures ; je nomme violences une chute, une blessure, un coup, une fatigue et autres choses de ce genre. De ces principes, le plus puissant est la violence si elle est considérable, mais non, si elle est petite ; au second rang est le défaut d'évacuation ; au troisième, les intempéries célestes contraires à la santé. Il faut donc se garder de ces causes. Quant aux effets que chacune produit dans le corps, je vais les dire. En cas de blessure, il est manifeste que la chair a été entamée et qu'une plaie a été faite ; cela, selon moi, est une maladie (*comp.* des Fractures, § 31, t. III, p. 527). En cas de contusion suite d'un coup, d'une chute ou de tout autre accident de ce genre, il survient du gonflement ; le sang, soudainement échauffé par la violence, et refluant dans les veines béantes, n'a pas d'issue, à cause de son abondance, pour s'échapper ; il se condense ; c'est pour cela que se forme le gonflement, lequel dure jusqu'à ce que l'évacuation se fasse par les lieux indiqués, ou jusqu'à ce que, à l'endroit même du gonflement, par la chirurgie ou autrement, une voie soit ouverte au sang, changé ou non avec le temps en pus. La fatigue produit un effet semblable ; quand on se fatigue, le sang, là où il éprouve le plus de travail, se fixe et s'échauffe, ce qui cause de la souffrance ; s'il l'emporte, si la fatigue engendre une pléthore considérable et que le ventre et la vessie n'en débarrassent pas rapidement, la fièvre en sera le résultat. Si la précédente humeur l'égalise, il n'y aura pas de fièvre ; mais, si l'une d'elles, devenue surabondante par la fatigue, demeure dans le corps, celle-là prend le des-

Mercur. in marg. – ἰσάζῃ EGHIK, Ald. – ἰσάζει J. — [12] δὲ EHIJK. – πλεῖστον E. – ἢ ἐν τῷ EH.

λαιπωρίη αὐτέων πλείστη ἐν τῷ σώματι καταμένῃ, κρατέει κείνη. Ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι [1]κατεργάζεται· καὶ αὗται μὲν δύο ἀρχαὶ ἐοῦσαι, ἥ τε βίη καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα.

51. [2]Ἡ δὲ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδειος γενομένη ἐν τῷ ἀνθρώπῳ ἐκράτησέ τι τοῦ ὑγροῦ καὶ θερμαίνει ὡς ἐς νόσον καὶ ψύχει, [3]ὁπότερον ἂν τύχῃ γενόμενον· ἐρέω δὲ [4]πρότερον περὶ τοῦ ὡς θερμαίνει. Φημὶ οὖν, ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνέῃ τι νοσηρὸν ὁκοῖον ἐν τῷ [5]πρότερον εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γίνηται, καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεσθαι τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι, τοῦτο δὲ [6]ποιέει βίη· καὶ ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦδε ταρασσομένου, ἀποκρίνεται ὁκόσον ἂν πλέον [7]ᾖ τοῦ καιροῦ. Ἔοικε δὲ τοῦτο ὥσπερ οἱ Σκύθαι ποιέουσιν ἐκ τοῦ ἱππείου γάλακτος· ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα σείουσι· τὸ δὲ ταρασσόμενον [8]ἀφριῇ καὶ διακρίνεται, καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσιν, ἐπιπολῆς διίσταται [9]τοῦτο, ἐλαφρὸν ἐόν· τὸ δὲ βαρὺ καὶ παχὺ κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν· ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μιν καλέουσιν· ὁ δὲ ὀῤῥὸς τοῦ γάλακτος ἐν μέσῳ ἐστίν. [10]Οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ταρασσομένου τοῦ ὑγροῦ παντὸς ἐν τῷ σώματι, ὑπὸ τῶν ἀρχῶν διίσταται ὧν εἴρηκά οἱ πάντα, καὶ ἐπιπολῆς μὲν [11]τὸ τῆς χολῆς διίσταται· κουφότατον γάρ ἐστι· δεύτερον δὲ τοῦ αἵματος· τρίτον δὲ τοῦ φλέγματος· βαρύτατον δέ ἐστι τῶν ὑγρῶν τούτων ὁ ὕδρωψ. Τούτων δ' ἐόντων, ὅ τι ἂν ἐν νούσῳ πλεῖστον [12]ᾖ, ἐν ἀρχῇσι γινομένης τῆς ταραχῆς, ἔρχεται ἐς χωρίον

[1] Ἐργάζεται EFGHIJKv. — [2] ἐκ δὲ (H, al. manu ἡ δὲ ἐκ) v. – Ante ἀνεπ. addit ἀνεπιτήδεια H. – νοῦσον Lind., Mack. — [3] πρότερον (πότερον, al. manu πρότερον H) ἢν τύχῃ vulg. – Lisez ὁπότερον ἄν ; H a gardé une partie de la vraie leçon. Voy. en effet le § 52 où il est parlé du refroidissement. — [4] πρῶτον EHv. – Ante περὶ addunt μὲν EH. – οὖν om., restit. al. manu H. – νοσερὸν EH. — [5] πρότερον EHIJK. – προτέρῳ vulg. – γίνηται EHIK. – γένηται vulg. — [6] ποιέειν J. – μὴ pro μὲν EFHK. – τοῦ δὲ vulg. – τοῦδε Mack. – La correction de Mack me paraît bonne. — [7] ἧ J. – σκῦθαι E. – εἰς E. — [8] ἀφριᾶ P'Q', Lind. – ἀφριεῖ vulg. – ἀκρίνεται (sic), al. manu διακρίνεται H. – μὲν om. K. – πίον I. – βούτηρον J. — [9] τοῦτο EHP'Q'. – τοῦτο om. vulg. – ἀποκρίνοντες EHIK. – μιν H. – μὶν vulg. – μὲν Ald. – μῖν J. – ὁρὸς H. — [10] οὕτω E. – οὕτως vulg. – πᾶν τὸ ἐν vulg. – παντὸς ἐν Mack. – Cette correction de Mack me paraît sûre. – οἱ πάντα om. K'. – πάντα om. FGIJK. – ὑπὸ τῶν ἀρχῶν, ὧν εἴρηκα, διίσταται· διίσταται δὲ οἱ πάντα Lind. — [11] τὸ

sus. Voilà ce que j'avais à dire sur la violence et sur les effets qu'elle produit. Ainsi ces deux principes morbides, la violence et la pléthore, si le sujet n'a pas d'évacuation, échauffent les corps.

51. (*Effets que produisent les intempéries célestes. L'auteur examine d'abord le cas où elles échauffent. Comparaison de ce qui se passe alors dans le corps avec ce qui se passe dans le lait quand on fait le beurre. Les maladies sont en général dénommées d'après le lieu où se fixe l'humeur peccante. Mais l'auteur ne s'en tient pas au cas des intempéries célestes; et il étend son explication aux deux autres principes morbifiques qu'il a distingués.*) Quant au troisième, les intempéries célestes, triomphant, chez le sujet, d'une des humeurs, échauffent ou refroidissent jusqu'à maladie, suivant leur nature. Je parlerai d'abord de l'échauffement. S'il est dans le même homme quelque chose de morbide semblable à ce que j'ai dit dans le cas précédent, si les conditions célestes deviennent défavorables et que le sujet s'échauffe, je dis que tout l'humide échauffé s'agite dans le corps; cela est le résultat de la violence; et, dans l'agitation de l'humide, si le sujet a des évacuations, la sécrétion est en proportion de la surabondance. Ceci est comparable à ce que les Scythes font avec le lait de jument; versant ce lait dans des vases creux en bois, ils l'agitent; agité, il écume et se sépare; la partie grasse qu'ils nomment beurre gagne la surface à cause de sa légèreté; la partie pesante et épaisse gagne le fond; c'est celle qu'ils séparent et font sécher; et, quand elle est concrétée et séchée, ils la nomment hippace; le petit-lait est au milieu. Il en est de même chez l'homme; tout l'humide étant troublé dans le corps, les principes dont j'ai parlé dissolvent tout; la bile va en haut, étant la plus légère, puis le sang, en troisième lieu le phlegme, enfin l'eau, qui est la plus pesante de ces humeurs. Les choses étant ainsi, l'humeur qui abonde le plus dans la maladie, par

om., restit. al. manu H. – διίστατάι om. Lind. – ὑγροτάτων pro ὑγρῶν τούτων FG. – ὕδροψ IK. – δὲ ὄντων vulg. — [12] ἢ pro ᾖ HJ. – ἐς E, Lind. – εἰς vulg. – εἴη vulg. – Lisez ἔῃ.

ἵνα ἂν πλεῖστον ἔῃ· [1]ἐν δὲ τῇ ταραχῇ εὐρυχωρίης γινομένης, [2]εἰλέεται ἀποκεκριμένον καὶ θερμαίνει τὸ σῶμα, ἢ στήριξιν ἔχον πη τοῦ σώματος σὺν τῷ ἄλλῳ ὑγρῷ τῷ συνεόντι ἐν τῷ ἄλλῳ χωρίῳ πόνον καὶ θέρμην [3]παρέχει. Τὸ δὲ θερμαινόμενον προσξυνθερμαίνει καὶ τὸ ἄλλο σῶμα, [4]κἀκ τούτου ὁ πυρετὸς γίνεται, καὶ [5]γίνεται μᾶλλον ἀπὸ τῆς χολῆς καὶ τοῦ φλέγματος, καὶ [6]ἀπὸ τοῦ αἵματος· θερμότατα γάρ ταῦτά ἐστι, καὶ ἤν τι τούτων ἀποστηρίξῃ [7]πη τοῦ σώματος, ὡς ἐπιτοπλεῖστον ὠνόμασται κεῖθεν τὸ νούσημα καὶ ἐπωνυμίην ἔχει. [8]Ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίνεται πυρετὸς ἰσχυρὸς κάρτα οὐδὲ πουλυχρόνιος· τῷ γὰρ πυρὶ οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστίν. Καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται. Πρὶν δὲ ταραχθῆναι οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, [9]ἀλλ' ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ· πάντα γὰρ πλήρεά ἐστιν· ἐν δὲ τῇ ταραχῇ κενοῦται· κενοῦται δέ τι ἕτερον ἑτέρου μᾶλλον, καὶ τὸ πλεῖον ἐὸν χωρίον κατίσχει· καὶ τὸ μὲν ἀλλότριον οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν περιστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύναμιν· ἔστι δέ μιν ἰσοῦσθαι, καὶ ὃ [10]ἀπ' αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁποίη ἡ κάθαρσίς ἐστιν. Ἢν [11]δὴ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο πρὶν ὑγιηρὸν ἐὸν, καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε· προσεπαυρίσκεται [12]γὰρ, ἢν μηκέτι τροφὴν ἀρκέουσαν ἔχῃ τὸ νούσημα, καὶ ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος· πρῶτον [13]τὸ πλησίον προσλαμβάνει, εἶτα ἐπὶ [14]τῷ προσωτέρω νέμεται, μέχρις ἂν ἐξαναλωθῇ καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή· τροφὴ δέ ἐστιν ἀνθρώπῳ τὸ κοῦφον ὑγρόν. Ὥσπερ οὖν [15]δὴ τὸ πρῶτον μὲν κατὰ μικρὸν σηπεδὼν ἐγένετο, ἢν μάλιστα θερμαίνηται, ἔπειτα ἐπὴν κεῖθι τῇ [16]σηπεδόνι

[1] Ἢν pro ἐν G. – ἐὰν pro ἐν IJv. — [2] εἰλ. EHIJK, Ald. – ἕλκεται K'. – στήρηξιν vulg. – στήριξιν EGHJK, Ald., Lind., Mack. – ἔχοντι ἡ pro ἔχον πη EFGHIJK, Ald. – συνενεόντι EKP'Q'. – ξυνενεόντι Lind. — [3] παρέχον EFGIJKv. — [4] καὶ ἐκ EHI. — [5] γίν. om. L, Lind., Mack. — [6] ἀπὸ om. E. — [7] ἢ pro πη (E, al. manu πῆ) FGHIK. – ἢ J. – τι ἢ Ald. – ὀνόμασται J. – νόσημα EHJ. — [8] ἀπὸ τοῦ δὲ IJ. – ὕδροπος IK. – πουλυχρόνιος H. – πολυχρ. vulg. – τὸ pro τῷ H. – ὕδροψ IK. – εἰς E. — [9] ἀλλὰ EH. – εἰλ. EHI. – ἐπιμίγνυται K. – περιστηρίζῃ H. — [10] ἐπ' vulg. – Je lis ἀπ' avec Foes, si toutefois il y a quelque chose de certain dans des raisonnements aussi arbitraires et aussi futiles. – ὁκοίη Mack. — [11] δὲ HIKK'Q', Lind., Mack. – καὶ ἐξαναλ. om. FGIJK. – ἀποθνήσκει EP'. — [12] γὰρ om. FG, Ald. – πλὴν (H, al. manu γὰρ) v. – δὲ pro γὰρ P'. – Post προσεπ. addunt ὁ ἄνθρωπος FG, Ald. – ἔχοι E. – νόσημα EHJ.

